199. Telo in insula. Ross *Hellenica* I 66.

Μνῆμα τόδ' εἰ]ςάθρησον, ὁδοιπ[όρε], Καλλιρο[είης,
ἡλικίης] κεδνῆς ἣν ἕλε πρόσθ' Ἀίδης·
πατρίδα] δὲ φράζεν Σέλγ[η]ν· γυάλοις δ' ἐνὶ Τήλου
προςφι]λὲς ἐνναέταις ἤνυσα τέρμα βίου·
τοὔνεκ]α λοιβαῖσιν [π]άρ[εδ]ρος θυσίαισί τε θάσσω,
τίμι]α τ' εὐσεβίης πᾶσιν ἔθη[κ]α [γ]έρα.

III vel II a. Chr. n. saeculi. — 1sq. restituit Hermann apud Rossium, nisi quod Καλλιρόης γάρ voluit. — 3 ΣΕΛΓΙΙΝ egregie hoc distichon refecit Buecheler. — 5 ΤΑΡ . . ΡΟΣ quod correxi, nec de τοὔνεκα dubito; incertiora sunt v. 6 supplementa, ubi Hermann a vero longe aberravit: *eo quod iam sacris color, omnibus pietatis praemia quanti valeant demonstro.* θάσσω verbum fortasse ad anaglyphum spectat. — 6 ΕΘΗΓΑΤΕΡΑ ἔθηκα γέρας Herm.

---

200. In Co insula. Ross *Inscr. ined.* 304.

Ἰσ[θμὲ π]αλαι[γ]ενέος νήσσ[ο]υ πέδον, ἄφθι[τ]ε δῆμ[ε,
 σοὶ μεγάλων δώρων καὶ νέκυς οἶδα χάριν·
εἰκόνι καὶ στεφάνοισιν ἀειμνήστῳ [τε . . . .
 σήματι τοῦ πικροῦ ῥῦσιν ἔχω θανάτου.

Aetatis romanae. — 1 ΙΣC⁻ΞΙΙΑΛΑΙΕ — ΝΗΣΣΘΥ — ΑΦΘΙΙΕ rest. editor. — 3 γερασθείς Welcker *Mus. Rh.* VI 84 non augurans opinor fore ut aliquando in titulo perrecenti Phrygio participium inveniretur μνῆμα γερασσάμενος. Tamen non recepi, nec γεγηθώς nec πεποιθώς mihi satisfacit. — Coniunxit Ross cum hoc carmine titulum 303 ὁ δᾶμος τῶν Ἰσθμιωτῶν ἐτίμασεν τιμαῖς τρίταις Σάτυρον Θεμιστοκλέους ἰατρὸν στεφάνῳ χρυσέῳ καὶ εἰκόνι χαλκῇ ἀρετᾶς ἕνεκεν τᾶς κατὰ τὰν τέχναν καὶ εὐνοίας τᾶς ἐς αὐτόν. Et medicus si fuit ille, intellegis acumen v. 4 *uti ego totiens a vobis mortem defendebam, ita me iam vestris honoribus a mortis oblivione vindicavistis.*

---

201. In Co insula. Ross *Inscr. ined.* 174 et ex novo apographo *Hellen.* I 2 p. 97 *(Inscr. ined.* fasc. III p. 41). Omnium optime tractavit novo apographo nisus Keil *Allgem. Littztg.* 1849 p. 635 sqq.

Θευδότα ἁ [μάτ]ηρ σε [τέκε], Στόλε, δάκρυ· ἄ[φν]ως γὰρ
 ἁρπάξας σ' Ἀίδας σὰν ἐμάρανεν ἀκμάν·
συνκέχυται γενέτας δὲ Ποσείδιππος, κλυτὸν ἔρνος
 ζαλωτὸν πένψας Περσεφόνας θαλάμοις,
5 γυμνάδος αὐστηρὸν διέτη πόνον ἐκτελέσαντα
 ἀρτίχνουν γονέων ἐλπίδα γηραλέην.

I fere a. Chr. n. saec. — 1 Keil Ι . . ΗΡΣΕ . . ◡CΣΤΟΛΕ quod ipse correxit, nomen tamen Εὔοδε fuisse citra necessitatem existimans. Vltima ex peiore apographo restituerat Hermann. A. P. VII 527 Θεύδοτε, κηδεμόνων μέγα δάκρυον. — 6 C. I. 2240 τὰς γὰρ ἀφ' ὑμῶν — Ἅιδης γηροτρόφους ἐλπίδας ὠρφάνισεν.

---

202. Halicarnassi viderunt Birch (*Diar. arch.* 1859 p. 56) et Newton (*Discoveries of Halicarnass* tab. 97, 64); sed Co advectum esse perspexit Wilamowitz.

Μελανθίου τοῦ Δημητρίου τοῦ Μελανθίου ἰατροῦ τὸ
 μνῆμα.

Εὕδεις, ὦ φιλότεκνε Μελάνθιε, καὶ βαθὺν ὕπνον
εὕδεις, ἰατρῶν ὦ πολυπειρότατε·
ἀλ]λ' Ἀίδας ζωοῖσιν ἐναντίος, ὃς τὸν ἀρωγόν
νούσων εἰς Μερόπων οὐκ ἐφύλαξεν ἄκη.
εἰς ἑαυτόν.
Τὸν τέχνῃ λάμψαντα Μελάνθιον ἰητῆρα
χθώ[ν με Κό]ως κρύπτει πρέσβυν ἀλυπότατον.

I vel II p. Chr. n. saeculi. — 1 φιλότεχνε Bergk *Diar. arch.* l. s. s. At cf. C. I. 1802 πατὴρ φιλότεκνος, nimirum liberi superstites monumentum posuerunt. — ναὶ βαθὺν ὕ. eleganter Wilamowitz. — 4 Μερόπων i. e. Coorum, ut recte idem interpretatur, certa simul ratione v. 6 lacunam explens. — 5 sq. ipse Melanthius utpote medicus ionice loquitur.

---

203. Cnidi. Newton *Discoveries of Halicarnass* cett. I tab. 95,58. Lapis superne integer.

Ἥβας δὴ κείνας, [οἵας τύπον ἔστιν ἰδέσθαι,
μνᾶμα πατρὸ[ς χεῖρες καλὸν ἔθεντο τόδε·
τοῖος, Καλλίκρατέ[ς, ποτ' ἐών, φίλε, κηρὶ δαμασθεὶς
θῦνες ἀνὰ σκιερ[οὺς Περσεφόνας θαλάμους.

III vel II a. Chr. n. saec.

---

204. Cnidi. Newton tab. 94,54.

a. Λαινά σοι τύμβω[ν] δωμήματα Θεῖος ἔτευξα,
Ἀτθίς, ὁ δὶς τῆς σῆς ἡλικίης προ[τ]ερῶν,
εὐξάμενος χειρῶν ἀπὸ σῶν κόνιν· ἄκριτε δαῖμον,
ἀμφοτέροις ἡμῖν ἔσβεσας ἠέλιον.

b. Ἀτθίς, ἐμοὶ ζή(σ)α(σ)α καὶ εἰς ἐμὲ πνεῦμα λιποῦσα,
ὡς πάρος εὐφροσύνης, νῦν δακρύων πρόφασι,
ἁγνὰ πουλυγόητε, τί πένθιμον ὕπνον ἰαύεις,
ἀνδρὸς ἀπὸ στέρνων οὔποτε θεῖσα κάρα,
Θεῖον ἐρημώσασα τὸν οὐκέτι; σοὶ γὰρ ἐς Ἅδαν
ἦλθον ὁμοῦ ζωᾶς ἐλπίδες ἁμετέρας.

c. Οὐκ ἔπιον Λήθης Ἀιδωνίδος ἔσχατον ὕδωρ,
ὥς σε παρηγορίην κἂν φθιμένοισιν ἔχω,
Θεῖε, πλέον δύστηνε, γάμων ὅτι τῶν ἀμιάντων

νοσφισθεὶς κλαίεις χηροσύνην θαλάμων.

Τοῦτο σαοφροσύνας γέρας Ἀτθίδι ταῖ πολυκλαύτωι
οὐκ ἴσον, οὐδὲ ἀρετᾶς ἄξιον, ἀλλ' ἐθέμαν
μνάμαν εἰς αἰῶνα φερώνυμον, αὐτὸς ἀνάγκαι
Θεῖος νηπιάχωι πνεῦμα χαριζόμενος·
οἴσω γὰρ καὶ τοῦτο χάριν σέο καὶ τὸν ἀπηνῆ
ὄμμασι τοῖς στυγνοῖς ὄψομαι ἠέλιον.

I a. Chr. n. saeculo non antiquior titulus rara quadam verborum compositionisque arte conspicuus. Vtraque enim binorum distichorum stropha ionice, utraque ternorum dorice scripta est, nisi quod v. 6 εὐφροσύνης et v. 20 ἠέλιον lapidario parum curioso excidit: sententiarum tamen quam dicunt strophicam responsionem frustra quaeres. Numeri admodum celeres, quorum si quando penthemimere impeditur volubilitas, compensatur haec mora bucolica caesura; quae ipsa sicubi fere desideratur (v. 13), inciditur κατὰ τρίτον τροχαῖον. Quae sunt etiam Bionis aliorumque aequalium poetarum leges metricae. — 2 ΠΡΟΓΕΡΩΝ correxi. Verbo προτερεῖν neminem novi qui hoc significatu usus sit praeter Dionysium Halicarnassensem Cnidiorum finitimum. — 5 ΖΗΖΑΖΑ ut saepe illic terrarum. — 18 gravius non vidi fato unquam opprobrium factum. — 22 στυγνοῖς ὄμμασι *miseris oculis*, sicut supra n. 149 ὦ μητρὸς στυγερῆς.

---

205. Ad Halicarnassum. Wescher *Rev. archéol.* 1846 II 134

Μύρτον Εὐβούλου Μυνδία,
χρηστὴ χαῖρε.
Πατρὶς μὲν Μύνδος, γενέτωρ δέ μευ ἔπλετ' Ἰάσων,
στοργᾶι δ' Εὐβούλου κούρα ἀνεγραφόμαν·
τέκνον δ' ἀρτιγάλακτον Ἰάσονα ματρὶ λιποῦσα
ζωᾶς ἐστερόμαν ἐννεακαιδεχέτις·
αἰακτὰν δὲ θύγατρα κατεστενάχησε Στρατεία
οἶά τις εἰναλία δάκρυσιν ἀλκυονίς.
τοὔνεκα τὰν κατὰ γᾶς Μύρτον, ξένοι, αὐδήσαντες
χαίρειν τὰν αὐτὰν ἀντινέμεσθε χάριν.

II fere a. Chr. n. saec. — 2 Myrton ab Eubulo adoptata caelebs partum edidisse videtur. — 6 egi de hoc versu *Comment. Bonnens.* p. 26 Adde [Moschi] III 40 ἀλκυονὶς δ' οὐ τόσσον (sic legendum esse docent

superiora) ἐπ' αἰγιαλοῖς χέε δάκρυ, ut corrigit postrema Buecheler *M. Rh.* XXX 38.

---

206. Halicarnassi. Newton I tab. 89,10 coll. *Diar. archaeol.* 1859 p. 56.

Μναμεῖον τόδε σεῖο πατὴρ ἐποίησεν ἑαυτοῦ
χερσὶν πᾶσιν ὁρᾶν σᾶς ἀρετᾶς ἕνεκεν·
καὶ ἐγὼ ὕπερθ' ἑστῶσα προσημαίνω παριοῦσιν
ὡς υἱὸν Μόσχου τόνδ' ἔχω Ἑρμοκράτην
Χαλκιδέων χώρας ἐνθάδε ἀποφθίμενον.

Christo nato vix antiquius. — 3 loquitur στήλη ipsi tumulo superimposita.

---

207. Halicarnassi. Newton tab. 88,8 coll. v. II[2] 699.

Ὁ] πρὶν ἐνὶ ζωοῖσι φίλοις φίλος, ὁ πρὶν ἐν ἀστοῖς
ἡδύς, ὁ Πιερίδων γυμνασίου τε φίλος,
Κλειογένης, υἱὸς Θεοδώρου, τῷδ' ὑπὸ τύμβῳ
κεῖ]ται Ἀλεξάνδρᾳ μητρὶ λιπὼν δάκρυα·
τὰς γὰ]ρ ἀεὶ γενέταισιν ὀφειλομένας ὑπὸ τέκνων
[πρὶν τῖσαι χάριτας κάτθαν' ἄωρος ἐών.]

I fere p. Chr. n. saec. — 1sq. ὁ πρίν - ὁ πρίν - ὁ similes particularum οὐ et εἰ eisdem versuum sedibus anaphorae in Antipatris Sidonii epigrammatis (eius enim sunt) A. P. VII 409 et 413. — 5sq. supplevi sententiam vulgarem. Legit Newton . . . . ΕΑΕΙ vel ΡΑΕΙ.

---

208. In Thaso duo lapides. Conze *Itin. insular. maris Thrac.* p. 19. sqq.

a. *Ἄρτι με νυμφιδίων ἀπὸ δύσμορον ἥρπασε παστῶν*
δαίμων ἐς τριτάτην νισόμενον δεκάδα,
ἀρτιβίου περόωντα κατ' εὐκλέα θέσμια δόξας
στυγνὸς ἄπαιδα δόμοις ἀμφεκάλυψ' Ἀίδης
Ἀντιφόωντα, γοναῖσι Σοφοκλέος ὃν τέκε μάτηρ
Ἡρω, τᾷ λιπόμαν οὐ τέκος, ἀλλὰ τάφον.
αἰαῖ, τίπτε, Τύχα, με τὸν εὐκλέα πατρίδι κόσμον,
τλάμονα δυσπενθής, ὠρφάνισας βιότου;

b[1]. *Ὁ τύμβος ἐσθλὸν υἷα τὸν Σοφοκλέος*

Εὐρυμενίδην κέκευθεν, ᾧ βίου μόνα
ἐτῶν διεξάμειπτο διπλόα δεκάς·
κατεῖδε δ' οὔτι νυμφικῶν ἐφίμερον
παστὸν γάμων πάρεδρον, ἀλλ' ὑπ' ὀλβίων
σφαλεὶς μελάθρων στυγνὸν ἦλθ' ὑπ' Ἀίδαν,
δυσπενθὲς Ἡροῖ ματρὶ καὶ συναίμοσι
λιπὼν φίλαισιν ἄλγος· ἁ δ' ἀλιστεφής
δόξας ἕκατι τῷδε πατρία Θάσος
τὰ σεμνὰ τιμᾶς δῶρ' ἔνειμεν εὐκλέους.

b'. *Οὐ γάμον, οὐχ ὑμέναιον ἐμοὶ [φίλα ἄνυσε μάτηρ*
Ἥρω, ἀποφθίμενον δ' ἐστενάχησε γόοι[ς,
εἰκοστὸν τανύσανθ' ἐτέων δρόμον· ἄμμε δ' ὁμ[αίμους,
τλάμονες, ἐν δισσοῖς μησὶν ὅδ' ἔσχε τάφος·
πατρὸς δ' εὐόλβοιο Σοφοκλέος ἄρσενα γ[ένν]αν
ὠκύμορον φθιμέναν ἐστενάχησε Θάσος·
μάτηρ δ' ἁ μεγάλ[αυχος] ἐφ' υἱάσιν, ἁ πάρος εὔπαις,
οὐχὶ τέκη, κω[φοὺς δ'] ἀντὶ δέδορκε τάφους.

II fere p. Chr. n. saeculi. — Primum epigramma ad Antiphontem, reliqua duo ad Eurymenidem duobus post fratrem mensibus mortuum pertinent, eiusdem omnia poetae. — 3 fort. ἄρτι βίου, quod suadet anaphorae ratio et parum aptum δόξας vocabuli epitheton; genetivus partitivus a περόωντα suspensus explicari potest. — 13 παστὸν γάμων πάρεδρον audacius quam Musaei v. 1 λύχνον - γάμων ἐπιμάρτυρα. — 19 ἐμοὶ γλυκὺν ἐξετέλεσσεν Curtius *Goett. Gel. Anz.* 1860 p. 414, at matris vocabulum necessarium est. — 21. 23. suppl. Wieseler apud Conzium, 25 Curtius, 26 Wilamowitz.

---

209. Orei Euboeae. Ex Papasliotis apographo *Diar. arch.* 1856 p. 270.

Πολλά σε ἔπαινος ἐπευκλέισεν νεότητος ἐν ἀκμῆι
παῖδα μὲν ὄντα νέ[ω]ν κοσμιότητι τρόπων,
ἥβηι δ' αὐξηθέντα νόμων πατρίων θεραπεία[ι,
ἐν συνό[δοις] ὅ[τ]' Ἄρης ἀντιπάλους συνάγοι,
ἱππομαχοῦντα· ἀρετῆι γὰρ ἐτόλμησας στεφανῶσαι
πατρίδα καὶ προγόνους· μνῆμα δὲ σῆς ἀρετῆς
στ[ῆσε] πατὴρ Θεο[κλ]ῆς, ἀειμνήστοισ[ι] δὲ ἐπαίνοις
κόσμησε ἥδε πόλις καὶ κατὰ γῆς φθίμενον.

IV saeculi, si quidem non erratum est in ἱππομαχοῦντα v. 5; sic enim legendum esse vidit Baumeister recte negans Ἱππομάχων graecum nomen esse. — 2 νέον corr. Wilam. — 4 ενσυνολωδοδαρης. Nauck ἐν συνόδῳ δ' ὅτ' Ἄρης, quod ipse posui paullo melius est, verum fortasse neutrum. — 7 θεο . . . δης. Θεόδωρος Papasl. θεοειδές peius etiam Nauck; mihi Δ pro Λ lectum et lacunae spatium incuriose notatum videtur. — ἀειμνήστοις corr. Nauck. Gardner, Sculptured Tombs of Hellas, p.201.

---

210. Cei. *Ephem.* 3248.

Κόμψης τόδ' ἐστὶν μνῆμα τῆς . . . . .

IV vel III saec. — 1 ΛΙΚΥΜΟΥ nomen corruptum non fuit Λικυμνίου, quod sibi persuasit Bergk *Ann. Fleckeis.* 79, 193. Fuit nomen incipiens a Λα - vel Ἀλκ -, littera Μ ex duabus coaluisse videtur, velut ΛΙ vel ΝΙ.

---

211. Syri. Lebas IV 1896. Clon Stephanus Ἐπιγραφαὶ τῆς νήσου Σύρου. 1875 p. 54.

Ἐσθλὸν τῆιδ' ἱερῆα καὶ εὐσεβῆ ἀμφικαλύπτει
χθὼν ἥδε Κλειτοφῶντα τὸν Ἐρασισθένου·
στήλην δ' ἔστησεν θυγάτηρ ἐπὶ σήματι τῆνδε
αὔξουσα φήμην πατρὸς εὐκλεῆ γραφῆι.

III saec.

---

212. Syri. Clon Stephanus p. 56.

Θεοφίλα χρηστὴ χαῖρε.
Ἅδ' ἀρετὰν στέρξασα καὶ ἔνδικα λέκτρα ξυνεύνου,
Νικίου ἱμερτὰ παῖς, ξένε, Θειοφίλα
κεῖται ὑπὸ σκιερὰν Σύρου κόνιν, ἁ βαρυπενθής,
ὀρφανὸν ἐν ζωοῖς παῖδα λιποῦσα πατρός,
ὑστάτιον τελέσασ[α] τὸν ἐγ Μοιρέων ἐνιαυτόν,
πέμπτον ἐπὶ τρισσαῖς πλησαμένα δεκάσιν.
τοὔνεκά μιν τὰν πρόσθε περίφρονα καὶ μακαριστὰν
Ἑστιαῖος φθιμέναν τῶιδ' ὑπέθηκε τάφωι.

I vel a. vel p. Chr. n. saec. Lectio minime dubia, ut nec συνεύνου corrigere liceat v. 1. — 5 Α omisit lapidarius.

***213.** Rhenaeum h. e. Delium titulum esse coniecit Boeckh C. I. 2316.

Πλείστην δὴ θνητῶν ἀρετὴν πατρὶ μητρί τε δείξας
κεῖθ' Ἡρακλείδης ὁ Φίλωνος Δήλιος ὧδε.

Indoles satis antiqua.

---

214. Rhenaeae. Ex Rossii aliorumque apographis Keil *Diar. arch.* 1851 p. 295.

Δακρυόεν τόδ[ε] σῆμα κα[τὰ ξέ]νον ἠρίον ἤ[ρ]τα[ι
Φαρνάκου αὐθαί[μ]ου τ' αἰπὺ Μύρωνος ὁμοῦ,
τη[λεδ]αποῦ [γ]ε[ν]εᾶς οἰκτρᾶς ξένο[υ], οὓς . . . . .
ναυαγ[ο]ὺς Βορέου χεῖμ' ἀ[π]οσεισαμένους
ἄκρ[ω]ν δὴ ξίφος [ὀξ]ὺ Σεριφιὰς ὤλεσε νῆσος
ἀμφὶ βαρυζήλου τέρμα βαλοῦ[σα] τύχης·
Π]ρῶτος δ'[ἐν γαίης] κόλποι[ς] στηλ[οῦ]χ[ον ἔδειμεν
τύμβον [ἑοῖς ξεί]νοις μνημόσυνον στεναχ[ών.

III fere a. Chr. n. saeculi. — Apographa ut lapidis detritissimi admodum corrupta. Keilii usus sum singulis supplementis, interpretatione diversa mea. Sic enim rem intellego: *Pharnaces et Myron naufragio oppressi semimortui in Rhenaeam delati hospitio a Proto excepti mox obierunt sepultique sunt ab hospite.* Inde explicandum quod origo peregrina compluriens notatur (v. 1. 3.). — 1 ΤΟΔΣΗΜΑΚΑΙΛΕΞΝΟΝ correxi. A. P. VII 74 τοῦτο Θεμιστοκλεῖ ξένον ἠρίον εἵσατο Μάγνης λαός. — ΗΥΤΑ. corr. Ross. — 2 ΑΙΔΡΟΥ corr. Keil. αἰπύ cum displiceret mihi quidem, conieci ΚΑΙΓΙ i. e. κἀπὶ solita lapidum scriptura. — 3 ΤΗΜΠΑΠΟΥΤΕ.ΕΑΣ — ΞΕΝΟΙ corr. Buecheler. Post οὕς ΑΜΙΣΗΝΑ, quod Keil legit ἀμὶς ἦνε, aliter nimirum v. 4 constituto; id quod requiro non legi videtur ἅμα νηΐ. Certe si recte v. 4 ΧΕΙΜΑΤΟΣ κτλ'. mutavi, hoc apparet v. 3 extr. verbum non fuisse. — 4 desidero Boreae epitheton, quod fortasse ναυαγοῦς fuit. — 5 ΑΚΡΟΝ et CΞΥ corr. Keil. — 7 quae scripsi dubia sunt. ΤΡΩΤ ΟΣΔ . . . . . ΕΞΚΟ ΛΓΟΙ . ΣΤΗΛΩΧΑΟΣΤΛΙΜ . . aliaque apographa ΧΑΡΙΤΑ . . — 8 post τύμβον ΣC . . . ΤΗΝΟΙΣ et in extr. v. ΝΑΧΑΙ.

See Amer. Journ. of Archaeol. (2nd. Ser.) v. 287

215. Rhenaeae. C. I. Add. II 2322 b[93] coll. *Diar. arch.* 1860 p. 79.

Δὶ]ς δέκα καὶ δισσοὺς πλήσας ζωῆς λυκάβαντας
καὶ ποθέσας ἀρετὴν στεργομένην ὀλίγοις

ἤλυθες εἰς Ἀίδην ζητούμενος οἷς ἀπέλειπες·
πᾶσι γὰρ ἀλγηδὼν ἐσθλὸς ἀποιχόμενος.
εἰ δέ τις ἐν φθιμένοις κρίσις, ὡς λόγος ἀ(μ)φὶ θανόντων,
Σώγενες, οἰκήσεις εἰς δόμον εὐσεβέων.

I fere p. Chr. n. saeculi epigramma melius excogitatum quam scriptum.

---

216. Paro in insula. Ex Kindii apographo Keil *Allg. Littztg.* 1849 p. 625. Ex Schiefneri apographo Stephani *Bullet. acad. Petropol.* 1853 XI. 238.

Τύμβῳ τῷιδε Βόηθον Ἀριστόδικος κτερέιξε
παῖδα φίλον· τροφέων δ' ὤλετο πᾶσα χάρ[ις.

Aetatis romanae. — 2 ΧΑΡΙΙ Steph. ΧΑΡΣ Keil, qui correxit.

***217.** Paro in insula. Anaglypho lectisternium effictum. C. I. 2408. Lebas IV 2119.

Σωχάρμου παράγο[ντες ἐμὸν τάφον εἴπατε χαίρειν,
εἴ τι καὶ ἐς φθιμένο[υς μοῖρα δέδωκε λαλεῖν.
εἰ γὰρ καὶ παύρας ἐτέ[ων δεκάδας βίον ἔσχον,
ἄξιος αἰνεῖσθαι τ[οῖς ἀγαθοῖσι θάνον.
ὀρφανὰ μὲν μοῖραι στ[υγεραὶ κατὰ δώματ' ἔβαλλον·
κείσθω· πᾶσι χρόνου [ταὐτὸν ἔπεστι τέλος.

Aetatis romanae. Lectio omnino certa. — 5 sq. explevit Wilamowitz optime.

---

218. E Paro Venetiam adlatum esse coniecit ex v. 3 Boeckh C. I. 2415. Praevalent tamen, nisi ubi κοινή usurpatur, formae doricae. Mihi descripsit Wilamowitz.

α. Φράζε, τίνος γονέως, σέο τ' οὔνομα καὶ πόσιν αὔδα
καὶ χρόνον εἰπέ, γύναι, καὶ πόλεως ὅθεν εἶ.
β. Νείκανδρος γενέτωρ, πατρὶς Πάρος, οὔνομα δὲ ἦν μοι
Σωκρατέα, φθιμένῃν Παρμενίων δὲ ἔθετο
σύνλεκτρος τύμβῳ με, χάριν δέ μοι ὤπασε τήνδε
εὐδόξου ζωᾶς μνῆμα καὶ ἐσσομένοις.
καί με πικρὰν νεαροῖο βρέφους ἀφύλακτος Ἐρεινύς

αἱμορύτο ιονόσωι τερπνὸν ἔλυσε βίον.
οὔθ' ὑπ' ἐμαῖς ὠδεῖσι τὸ νήπιον εἰς φάος ἦγον,
ἀλλ' ὑπὸ γαστρὶ φίλαι κεύθεται ἐμφθιμένοις·
τρισσᾶς ἐκ δεκάδος δὲ πρὸς ἓξ ἐτέων χρόνον ἦλθον
ἀνδρὶ λιποῦσα τέκνων ἀρσενόπαιδα γονάν,
δισσὰ δὲ πατρὶ λιποῦσα καὶ ἱμερτῶι συνομεύνωι
αὐτὰ ὑπὸ τριτάτωι τόνδε λέλονχα τόπον.
α. ἀλλὰ σύ, παμβασίλῃα θεά, πολυώνυμε κούρα,
τήνδε ἄγε ἐπ' εὐσεβέων χῶρον ἔχουσα χερός.
β. τοῖς δὲ παρερχομένοισι θεὸς τέρψιν τινὰ δῴη
εἴπασιν χαίρειν Σωκρατέαν κατὰ γῆς.
Διονύσιος Μάγνης ποιητὴς ἔγραψεν.

II p. Chr. n. saec. — Lapidarium ϲ forma usum correxit fere ubique Dionysius idemque cum ille v. 2 ΓΥΓΥΝΑΙ et v. 3 ΠΕΝΕΤΩΡ sculpsisset, sedulo emendavit. Observavit haec Wilamowitz, qui etiam ex subscriptione Ρ formam tradidit. Eo minus autem probabile est, poetam v. 7. πικράν integrum relicturum fuisse, si quidem quod Reiske coniecit πικρά voluisset. Numeri dicendi genere elegantiores bucolica nituntur caesura, quae quinquies τῇ κατὰ τρίτον τροχαῖον compensatur. — 1 γονέως Wilam. ceteri γονέος. — 7 πικράν i. e. acerbo fato adflictam, ut στυγνός et στυγερός de homine miserando ponitur. — 8 νόσωι Wilam. ceteri νόσου, quod frustra explicabant. Mirum vero quod non scripsit αἱμορύτῳ νούσῳ. *Erinys infantis inprovidens morbo me sustulit.* — 13 *duo pueros* (v. 12) *patri maritoque reliqui, sub ipso tertii partu occubui.* ὑπὸ τριτάτῳ non brevius dictum quam ut intellegi possit; pro αὐτά expectares αὐτῷ, at solent haec pronomina adsimilatione quadam ad subiectum potius referri. Ceterum cf. A. P. VII 465 δισσὰ δ' ὁμοῦ τίκτουσα τὸ μὲν λίπον ἀνδρὶ ποδηγόν-γήρως· ὃν δ' ἀπάγω μνημόσυνον πόσιος. — 15 παμβασίλῃα Wilam. ceteri παμβασίλεια. — 17 δῴη Wilam. ceteri δοίη. Vltimum distichon, nisi forte ex sui animi sententia poeta loquitur, ipsi Socrateae tribuendum puto, quo gratias referret pii voti v. 15sq. Gardner, Sculptured Tombs of Hellas, p. 207. Chardon de la Rochette, "Mélanges," vol. 2, p. 338.

219. Arcesinae Amorgi. C. I. Add. II 2264 v.

Κλεομάνδρου τόδε σῆμα, τ[οῦ] ἐν πόντωι κίχε μοῖρα,
δακρυόεν δὲ πόλει πένθος ἔθηκε θανών.

IV saec. — 1 ΤΩ quod vidit Keil (ad Rossii *Arch. Aufs.* II 648) ΤΟ esse; τῷ Boeckh. De genetivo v. A. P. VI 264, ubi quod codex habet ἀλλ' ἀρετᾷ λάμπομαι, αἷς ἔκιχον non ἄν, sed cum Iacobsio ἇς corrigendum est.

220. In insula Amorgo. Ex Ioannidis apographo Henzen *Annal. Inst.* 1864 p. 103.

Οἰνόβιος Δίωνος, ἀποφθιμένου τόδ' ἀώρου
μνῆμ' ἔσ[τησεν]· ὁρᾶν δ' ἡλικίην παρέχει.

IV saec. ο pro ου scriptum. — 2 imperite sic descriptus ΜΝΗΜΕΣΟ ΡΑΝΔΗΛ κτλ'. Oblitus videtur Graeculus indicare post ες - versum desinere in lapide eumque mutilum esse.

---

221. Arcesinae. C. I. Add. II 2264w.

Ἐσλὸς ἐὼν Πολ[ύ]ιδος Ἐχε[κλῆος] φίλος υἱός
οἶκον ἀμαυρώσας ὤλετ' ἄωρος ἐών.

IV vel III saec. — 1 ΓΟΛΙΙΔΟΣΕΧΕΩ . . . nomen dedit Buecheler.

Kl. p. 519

---

222. In insula Amorgo. Ex Graeci cuiusdam apographo litteris minusculis scripto Cumanudes *Athenaei* v. II 407.

Ὁ δῆμος Λεοντεῖ Εὐρυδίκου ἥρωι.
Τόνδ' ἀρετᾷ [λ]άμψα[ντ]α Λεοντέα Εὐρυδίκοιο
τίμησεν πάτρα γυμνάδος ἐν τεμέν[ε]ι·
ἄρτι γὰρ ἐκ χ[λ]αμύδος νεοπενθὴς ᾤχετ' ἐς Ἅιδα
ὀκτωκαιδεχέτης, ματρὶ λιπὼν δάκρυα.
ὃν στεφάν[ῳ] τίμησ[ε] πόλις καὶ σήματι τῷδε
μαν[ύ]ουσ' ἀγαθῶν καὶ προγόνων ἀρετάν.
ὢ μοίρας ἀτρύτο[υ] ἀναγκαστῆρες ἄτρακτοι,
τόν[δ]' ἱερὸν πέμψαι[τ]' εἰς δόμον εὐσεβέων.

Videtur romanae aetatis; iota nusquam adscriptum. Dialectus dorica in argumenti gratiam usurpata: solent enim epheborum tituli dorice loqui. Semel posita vulgaris forma σήματι v. 5 prodit lapidarium doridi non adsuetum. — 1 ἀρετὰν ἀμίψα[σ]α traditur, quod miror Cumanudi nauseam non movisse. — 4 idem hemistichion in titulo Halicarnassensi supra n. 207. — 6 ΜΑΝΟΥΣ et 7 ἄτρυτοι et 8 τὸν ἱερόν, quae correxi.

222a

223. Prope Miletum. Ex cod. Askewiano C. I. 2892.

Εὔδιον ἐκ μακάρων ἀνύσαντά σε τὰν ἀόρατον,
Γοργία εὐγήρως, ἀτρα[πι]τὸ[ν] βιότου
ὄλβου τηλεθάοντος ἐκοίμισεν ὕπνος ὁ λήθης

χάντα [π]ρὸς ἑπταπόρου στᾶσέ [σ]ε [Πλη]ιά[δος.
ἔξοχα δ' αἰνήσασα Θεόκτιτος ἅδε σε [γ]α[ῖ]α
φροντίδι πανδήμῳ σὸν δέμας ἐκτέρισε(ν),
οὕνεκα καὶ πατέρων ἐπὶ γυμνάδος [ἠ]δὲ φιλόπλου
πρόσθε νέων ἀ[γ]έ[λ]ας ἔδρακεν ἁγεμόνα,
ἄλλα τ' ἐνὶ ζωᾶι τε[λ]έσαντά σε μυρία δάμωι
καρ[ύξε]ι φάμα φέν[γ]ος ὑπ' ἀ[ε]λίου,
ἐσθ[λὸ]ν ἐν ἁμερίοισιν Ἀ[ρ]ιστέου ὑὸν ἄριστον,
δόξ]αν ἑὰν ἁ[παλ]οῖς παισὶ [λι]πόντ[α] φίλο[ις.

Litterae **vulgares**, iota additum dativo *δάμῳ* v. 9 et fortasse *ζωᾷ*. vid. ad. v. 9. Corruptum codicis exemplum paullo liberius tractari posse intellexit Boeckh. — 1 *εὔδιον ἐκ μ.* intellego ut notissimum *ἀγαθὸς ἐξ ἀγαθῶν*, *divitem ipsum ex divitibus prognatum.* — *ἀόρατος ἀτραπιτός* videtur via dici quam qui sequitur nescit quo ducat. — 2 ΑΤΡΑΤΑΤΟΥ non ausus sum quamvis faciliori emendatione *ἄτραπα τοῦ βιότου* scribere nomiue adhuc ignoto; licet ut *φύλαξ φυλακός*, *ἄναξ ἀνακός*, sic *ἄτραψ ἀτραπός* iuxta extare potuisse concedas. — 4 ΙΡΟΣ et ΤΕΙΝΔΡΙΑ . . egregie ut omnia reliqua correxit Boeckh coll. Antip. Sid. A. P. VII 748 de ingenti quadam mole ad caelum usque porrecta *κείμενον ἑπταπόρων ἀγχόθι Πληιάδων*, quod non nimis facete in hominem post mortem ad deos evectum transtulit poeta Milesius. — 5 ΡΑΤΑ — 7 ΕΔΕ — 8 ΑΡΕΔΑΣ *Gorgias gymnasiarchus fuit et maiorum natu et adulescentulorum* Boeckh, et hinc explicanda dialectus dorica. — 9 ΖΩΑΤΕΙΔΕΣ quod fuerit ΖΩΑΙΤΕ ΛΕΣ — 10 ΚΑΡΙΣΣΙ quod et facilius et aptius corriges *καρύξει*, Boeckh *καρύσσει*. — ΦΕΝΠΟΣΥΠΑΙΛΙΟΥ — 11 ΕΣΘΑΩΝ — ΑΕΙΣΤΕΟΥ — 12 ΑΘΖΑΝ — ΑΙΠΑΟΙΣ — . . ΠΟΝΤΙΦΙΛΟΝ.

---

224. In Samo. C. I. 2258.

Ἡ γενεῇι δόξῃ τε καὶ ἐν Μούσῃσι Τύριννα
ἔξοχος, ἡ πάσης ἄκρα φέρουσ' ἀρετῆς,
ἐννεάδας τρισσὰς ἐτέων ζήσασα τοκεῦσιν
δυστήνοις ἔλιπον δάκρυα καὶ στοναχάς.
πᾶς γὰρ ἐμοῦ φθιμένης χῆρος δόμος· οὔτε γὰρ αὐτη
λείπομαι, οὔτ' ἔλιπον βλαστὸν ἀποιχομένη·
ἀντὶ δὲ πατρῴο[ιο] καὶ ὑψορόφοιο μελάθρου
λειτὴ τοὐμὸν ἔχει σῶμα λαχοῦσα πέτρη.
εἰ δ' ἦν εὐσεβέων ὅσιος λόγος, οὔποτ' ἂν οἶκος
οὑμὸς ἐμοῦ φθιμένης ταῖσδ' ἐνέκυρσε τύχαις.

See Heber's Poems, p. 266.

Titulus antiquior videtur, quam cui conveniat ϴ forma tradita. — 7 ΠΑΤΡΩΟΥ corr. Boeckh.

---

225. Marathesii apud Ephesum. C. I. 3026.

Ὀστέα μὲν καὶ σάρκας ἐμὰς σπιλάδες διέχευαν
ὀξεῖαι, κρημνῶν ἅλμα ὑποδεξάμεναι·
ψυχὴ δ' αἰθέριον κατέχει πόλον· ἀξυνέτων δέ
βουλαῖς ἀνθρώπων τοῦδε ἔτυχον θανάτου.

Litterae vulgares. — De rupe sese praecipitaverat ille, *sive quod improbi nescio qui et nebulones eum persecuti erant, quos conatus erat effugere, sive quod stulti homines ei persuaserant ut auderet facinus arduum.* Boeckh.

---

226. Prope Teon. Ex cod. Askewiano C. I. 3123.

Ἀλκείδου με τραφέντα φίλοις [ἐνὶ γυ]μνασίοισιν
λυπηρὸς δαίμων ἥρπασεν αἰφ[νίδι]ος·
εἴκοσι γὰρ καὶ πέντε μόνου[ς] λυκάβαντας ὁδεύσας
σκῆνος νῦν κεῖμαι Πλουτέος ἐμμελ[ά]θροις.
ἀ]φθάρτοις Μούσαις γὰ[ρ] ἐπ[έ]σ[τεφ]ον αὐτὸς ἐμ[αυτόν,
. . . . νυμφίος οὐ [γ]ε[ν]όμην·
Μουσ]ῶν γὰρ κληδοῦχ[ον Ἔρως φύγε κοὐκ] ἐθέ[λ]οντα
. . . . . . μητρὸς καὶ πατρὸς ἐκ . . . . . .
οἳ νῦν οὐκέτ' ἔχουσ[ιν] ἐμὸν [θάλ]ος· ἀ[λλ]ὰ πα[ρέ]ρχο[υ
ὦ φίλ]ε ὁδ[ο]ιπόρε πᾶς τοὔνομα διζόμενος·

Litterae vulgares, nisi quod ϲ forma traditur. — De indole epigrammatis non iudicaverim, mirum tamen triplex γάρ v. 3. 5. 7. — 1 ΙΙ . . . . . ΜΝΑϹ et 4 ΜΕΛΙΘΡΟΙϹ corr. Boeckh; idem vero male ἀφθάρτοις ad μελάθροις rettulit. Nec deae sunt ἄφθαρτοι Μοῦσαι, sed carmina, e quibus ille saeculorum laudem sibi fore sperat; reliqua tamen distichi pars obscura. — 5 ΓΑΙΕΠΙϹ . . ΟΝ — ΕΜ . Ε . . — 6 . ΝΟΛΕΩϹΝΟΕΝ — ΟΥϹΕΜ ΟΝΗΝ ultima certo correxisse videor, initio versus fortasse καὶ πόλεως ἕνεκεν, quae non nimis audax est mutatio, cf. A. P. VII 733 Κληνὼ μὲν Χαρίτων ἱερή, Δήμητρι δ' Ἀναξώ - ἐν ζωῇ πρὸ πόλεως. — 7 Μουσῶν certum puto, reliqua supplevit Wilamowitz. Traditur ΚΛΗΔΟΥΧΩΙ . . . . . ΕΘΕΙΟΝΤΑ — 8 ΡΗΜΙΟϹ μητρὸς quod mulieris nomen non est, neque quod sequitur patris nomen ΕΚΟΜΜΑΩΝ recte Boeckh ἐκ Θαλάμου scripsisse videtur. C. I. 1499 Ἐλπίδος ἐκ μητρός καὶ πατρὸς Ἀρχιτέλευς.

Ceterum omnino mira etsi certa hoc loco parentum mentio est. — 9 ΕΧΟΥϹΜ — ΟΜΟϹ quod non φάος est, sed ΘΑΛΟϹ. Dein ΑΜΑΠΑΙϹ — ΡΧΟ — 10 ΟΔΙΠΟΡΕ.

---

227. Prope Teon. C. I. 3118.

Ἰχνεύεις, ὦ ξεῖνε, τίς εἴμ' ἐγὼ ἢ κατὰ γαίης
ἢ τίνες ο[ἱ] πατέρες τἠμμελέην ἔτεκον·
πεύσῃ· ἐγὼ γὰρ ἐ[ρ]αστὸν Ὀλυμπιὰς οὔ[νομ' ἐκλήθην,
παῖς [δ]ὲ Πατροκλείους, μητρὸς Ὀλυμπιάδος·
λυγρὴν θ'οἶμον ἔβην ἐτέων κύρσασα δὶς [ἑπτά,
παρθένος, ἓν δ' ἔλαχον σῆμα τόδ' ἀντὶ γάμου.

Litterae vulgares. — 2 ΟΠΑ — 3 ΕΒΑΣΤΟΝ — ΟΥΚΑΙ quae correxit Boeckh. — 4 ΠΑΙΣΕ Boeckh παῖς ἡ Πατροκλέους, idemque v. 5 δ' οἶμον. At nec copulativa neque adspirata quidquam offensionis habet.

---

228. Ephesi. C. I. 3019.

Ὀκτωκαιδεκάτου με καταρχόμενον λυκάβαντος,
ἄρτι τε ῥητορικῆς ἔργα διδασκόμενον
Λέσβωι ἐν εὐδένδρωι βαρυαλγὴς νοῦσος ἐδάμνα,
κοὐκέτι ἐς ἱμερτὴν γαῖαν ἔβην Ἔφεσον·
αὐτοκασίγνητος δὲ καμὼν μάλα πολλὰ τοκεῦσι
πένθος ἐπ' ὠκυάλου νηὸς ἔδωκε φέρειν.
ναίω δ' ἡρώων ἱερὸν δόμον, οὐκ Ἀχέροντος·
τοῖον γὰρ βιότου τέρμα σοφοῖσιν ἔνι.

I fere p. Chr. n. saec. — 5 sq. *permisit frater ut parentum dolor per mare ad eos veheretur.* Wilam. πένθος, ut saepius κῆδος, ipsum mortui corpus est. Simile quadamtenus Nicandri epigr. A. P. VII 435 ὁ δ' ἕβδομος (frater) ἄμμε Γύλιππος ἐν πυρὶ θεὶς μεγάλαν ἦλθε φέρων σποδιάν, Σπάρτᾳ μὲν μέγα κῦδος, Ἀλεξίππᾳ δὲ μέγ' ἄχθος ματρί.

---

229. Ad Prionem montem prope Ephesum. Gelzer *Mus. Rh.* XXVII 466.

A. Καλπουρνίωι Καλπουρνιανῶι Τ. Καλπούρνιος Κυιντιανὸς Ἀφρικανὸς κατεσκεύασεν σὺν τῆι ἐκβασμειδώσει τὸν βωμόν.

Ῥήνωι πὰρ ποταμῶι γενόμην, Πωλλῖνα δὲ μήτηρ,
Κυιντιανὸς δὲ πατήρ, Προυσιάδος δὲ πάτρης,

Καλπουρνιανὸς δ' ουνομα, ἔτη δ' ἐπὶ πέντε λόγοισιν
εἰν Ἐφέσωι σχολάσας εἰκοσέτης ἔθανον.

I certe p. Chr. n. saeculi. Parentes, cum natus est Calpurnianus, ad Rhenum commorabantur.

---

230. Erythris. Lebas V 1556 a. Hirschfeld *Act. acad. Berol. min.* 1875 p. 9.

Χαῖρε Εὔνομε Εὐνόμου.

Οὔνομα μοῦνον ἔχει στάλα, ξένε, σῶμα δὲ πόντος
πάτρας καὶ Λέσβου μέσσον ὑποβρύχιον;
μήτηρ δ' ἡ πανόδυρτος ἐρημαῖον κατὰ δῶμα
Εὔνομον αἰάζει μυρί' ὀδυρομένα.

Litterae vulgares. — 3 lapidarii doridis insueti sunt formae μήτηρ et ἡ.

---

231. Chii. C. I. 2237.

Ἕβδομον εἰς δέκατόν τε βίου λυκάβαντα περῶντα
μοῖρά με πρὸς θαλάμους ἅρπασε Φερσεφόνας·
λαμπάδα γὰρ ζωᾶς με δραμεῖν μόνον ἤθελε δαίμων,
τὸν δὲ μακρὸν γήρως οὐκ ἐτίθει δόλιχον·
ἄρτι δ' ἐφηβείαις θάλλων Διονύσιος ἀκμαῖς
καὶ σελίσιν Μουσῶν ἤλυθον εἰς Ἀίδαν.
ἀλλὰ πάτερ μᾶτέρ τε, προλείπετε πικρὸν ὀδυρμόν·
τέρμα γὰρ εἴς με βίου μοῖρ' ἐπέκρανε τόδε·

II vel I a. Chr. n. saec. Dorica dialectus ut in titulo ephebi, quod probant vv. 3 sq. — 4 ΘΕΙ[Ν] solus Vidua, alterum Akerblad et Chandler.

---

232. Chii. C. I. 2236.

Βιττὼ καὶ Φαινίς, φίλη Ἡμέρη, αἱ ξυνέριθοι,
αἱ πενιχραὶ γραῖαι, τῇιδ' ἐκλίθημεν ὁμοῦ,
ἀμφότεραι Κῶιαι, πρῶται γένος· ὦ γλυκὺς Ὄρθρος,
πρὸς λύχνον ὧι μύθους ἤιδομεν ἡμιθέων.

ω et c formae certe non fuerunt in lapide, qui Christo nato haud

paullo antiquior est. — 1 legebatur φίλη ἡμέρη quod male aut correxerunt aut explicuerunt. Antequam dilucesceret, surgebant ad laborem suavi confabulatione lucem opperientes; iam, ubi nox supervenit, diei verba dant suprema. — ΔΥΝΕΡΙΘΟΙ legebatur συνέριθοι.

---

233. Chii. C. I. 2240.

Ἄρτι σὲ τὸν θάλλοντα νέοις ἐπὶ γυμνάδος ἔργοις,
ἅβας καλλίστοις ἄνθεσι τερπόμενον,
ἠίθεον, Πρώταρχε, πατὴρ ἐκαλύψατο τύμβωι,
ὀστέα δ' ὀγκωθεὶς οὗτος ἔδεκτο τάφος.
πρόσθεν δ' ὁ πρέσβυς πινυτῶι δεδμημένος ἄλγει
Ἰσιάδ' ὠκύμορον μύρετο θυγατέρα·
αἶ[ά]ξας δ' ἄπληστα παλίνδρομον ἔλλαβε πένθος
Πρώταρχος· γαμετὴν γὰρ στενάχησε λίην.
λάινα δ' ὤγκωσεν τάδε σήματα· τὰς γὰρ ἀφ' ὑμῶν
Ἅιδης γηροτρόφους ἐλπίδας ὠρφάνισεν.

I fere a. Chr. n. saec. Dorica dialectus non nisi primo disticho adhibita, quo ephebica Protarchi virtus laudatur. — 1 ἄρτι ad ἐκαλύψατο (v. 3.) referendum; sic enim intellego: *modo te, Protarche, sepelivit pater, priorem vero Isiadem filiam prudenti dolore prosecutus est mortuam. Iam vero nimium lugens utriusque horum mortem alium dolorem percepit Protarchus (h. e. pater filio cognominis); nam uxor quoque obiit, ut iam, inquit, omni senectutis adminiculo orbus sim.* — 10 verbi ὀρφανίζω structura et nova neque elegans.

---

234. In museo Smyrnaeo. Hirschfeld *Act. acad. Berol. min.* 1874 p. 727.

Ὀστέα μὲν κρύπτει Τμῶλος νεάταισιν ὑπ' ὄχθαις
Ἑρμίου, ὀγκωτὰ δὲ [ἀ]μφιβέβακε κόνις
τηλεφαής· ξεστὰ δὲ πέτρα καθύπερθε ἀγορεύει
τὸν νε[κ]ὺν ἀφθόγγωι φθεγγομένα στόματι.
τοῦτο δὲ οἱ κενέωμα τάφου ποθέοντες ἑταῖροι
Σ]μύρνης ἀγχιάλοις χεῦαν ἐπ' αἰόσιν.

III fere a. Chr. n. saeculo epigramma perelegans sine ulla bucolica caesura dorico sermone scriptum praeter Σμύρνης patriae vulgarem formam. — 2 ΜΜΦΙ et 4 ΝΕΥΝ corr. editor. — 4 Simmiae ep. A. P. VII 193 de locusta τερπνὰ δι' ἀγλώσσου φθεγγομένα στόματος.

---

235. In museo Smyrnaeo. Gelzer *Mus. Rh.* XXVII 464 et Gelzeri nescius Hirschfeld l. s. s.

Χαῖρε, Κρίτων· σοὶ μέν [γ]ε καὶ εἰν Ἀίδαο δό[μοισιν
ὄντι τεῆς ἀρετῆς οὐχὶ λέλοιπε κλέος·
τοιγάρτοι παίδων σε φίλαι χέρες, ὡς θέμις ἐστί,
κρύψαν, ἐπεὶ γήρως ὄλβιον ἦλθε τέλος.

III fere a. Chr. n. saec. — 1 ΤΕ aequo animo tulerunt editores, qui extremum vocabulum recte expleverunt.

---

236 Smyrnaeum esse coniecit Boeckh C. I. 3273. Anaglypho iuvenis expressus equum freno retinens.

Υἱὸς Βίωνος Ἀπίων μὲν ἐνθάδε,
ἄτεκνος, ἄωρος, εἴκοσι πλήσας ἔτη
καὶ τρί' ἐπὶ τούτοις, οἰκτρὸς ἐν τρισὶ ἡμέραις
θανὼν ποθεινὸς τοῖς γονεῦσι γενόμενος,
ὧι παστὸν οὐθείς, οὐχ ὑμέναιον ᾖισέ τις,
οὐ λαμπάδ' ἧψε νυμφικήν, γόοισι δέ
καὶ δακρύοις πολλοῖσιν ἐνθάδ' ἤγαγον,
οὗπερ κατοικεῖν δεῖ με τὸν λοιπὸν χρόνον.
μᾶλλον δὲ κλαύσας, πάροδε, τὴν ἐμὴν τύχην
βαῖν' οὗ φίλον σοι καὶ τύχοις ὅσων θέλεις.

II vel I a. Chr. n. saec. — 9 *μᾶλλον δέ* h. e. *ne plura.* — 10 *quaeque optas eveniant tibi.*

---

237. Smyrnae. C. I. 3256.

Ὁ δῆμος Δημοκλέην Δημοκλήους·	*Ὁ δῆμος Δημοκλέην Ἀμφιλόχου.*

Τὸν πινυτὸν κατὰ πάντα καὶ ἔξοχον ἐν πολιήταις
ἀνέρα γηραλέου τέρματ' ἔχοντα βίου
Ἀίδεω νυχίοιο μέλας ὑπεδέξατο κόλπος
εὐσεβέων θ' ὁσίην εὔνασεν ἐς κλισίην.
μνῆμα δ' ἀποφθιμένοιο παρὰ τρηχῆαν ἀταρπόν
τοῦτο πάις κεδνῆι τεῦξε σὺν εὐνετίδι.
ξεῖνε, σὺ δ' ἀείσας Δημοκλέος υἱέα χαίρειν
Δημοκλέα στείχοις ἀβλαβὲς ἴχνος ἔχων.

II vel I a. Chr. n. saec. Democles pater cognominisque filius publice eodem sepulcro conditi sunt, at filii tantum superest epitaphium. — 5 A. P. VII 475 λειῇ παρὰ τριόδῳ. — 7 ἀείσας i. q. εἴπας nove dictum videtur. Townley Gallery, ii. 152,

---

238. Smyrnae. In museo Ashmoleano Oxonii descripsit Roehl ediditque in *Schedis epigraphicis* (Berol. 1876) p. 2.

Μοῖρ]α καὶ Εἰλείθυια καὶ ὠδ[ῖν]ες τὸ περισσόν
Μοισάων μελέδημ' ἄγαγον εἰς Ἀίδαν,
γαστρὸς ἀπωσαμέναν μόρον ἔγκυον· ἁ δὲ νεανίς
Ἡραὶς εὐτεύκτωι τῶιδ' ὑπένεστι τάφῳ.

I fere a. Chr. n. saeculi; ultimo dativo iota non adscriptum. — 1 suppl. Roehl. Videtur poeta mihi memor fuisse Homeri versus Σ 48 Μαῖρα καὶ Ὠρείθυια. — 2 ΑΓΑΓΕΝ lapis, quod ab ipso lapidario correctum esse testatur editor.

---

239. Smyrnae. Anaglypho homo expressus cum serpente arbori circumvoluto. C. I. 3326 ex schedis Vaticanis et Gallandi.

Ἀδ' Ἡρακλείδην κατέχει κόνις, ὀμβ[α]ρὺς Ἀιδας
εἴρυσεν αἰθέων ἥλικος ἐξ ἀγέλας·
ἄρτι γὰρ εὐμόχθου ἐπὶ γυμνάδ[ο]ς ἁγνὸν ἐφήβου
σχῆμα λαχὼν ἐρατὰν ὤλεσεν ἁλικίαν·
ἄρτι δ' ἀριθμὸν ἐτῶν ἓξ καὶ δέκα τερπνὸς ἀμείβων
Ζμερτομάραι στυγερὸν ματρὶ λέλοιπε γόον.

Litterae vulgares. Dialectus dorica ut in ephebi titulo, at duobus apographis, quorum unum v. 2 ΕΛΙΚΟΣ, alterum ΗΛΙΚΟΣ habet, diffidere nolo. — 1 ΒΡΥΣ Gall ὄμβριμος Vatic. eadem clausula infra n. 252. — 3 ΓΥΜΝΑΔΑΣ corr. Brunck. — 6 Boeckh στεργομένᾳ coniecit; cui verbo si locus esset, στεργούσᾳ saltem opus erat: nam quia mater amabat filium, adflicta est. Matris nomen retineo.

---

240. Smyrnaeum esse coniecit Boeckh C. I. 3328. Anaglypho expressi pater et mater ex adverso sedentes, inter quos puer legens.

Ἤλυθες οὐκ ἀβόατος ἐνὶ τρισσαῖς δεκάδεσσιν,
Θεύδοτε, τὰν ζωοῖς οἶμον ὀφειλομέναν,

καὶ σὲ τὸν ἐν σπονδαῖσι γεγαθότα πουλὺ μετ' ἀστῶν
μάτηρ αἰάζει μυρομένα πρύτανιν.
πέτρος ὅδε ξείνοισι βοάσεται, ὡς ἀίδαλος
ἀσφαλὲς ἀνθρώποις οὐθὲν ἔνειμε Τύχα.
εἴης τοι σύμπατρί, κεχαρμένος ὄφρ' ἂν ἐς αἰ[ῶ
Σώστρατος ἐν φθιμένοις μυρίον αἶνον ἔχῃ.

Litterae vulgares. — Theudotus prytanis (ad C. I. 3148) saepe cum civibus (συμπρυτανεύουσιν scilicet) ἐν σπονδαῖς laetatus erat libans in prytaneo. — 4 v. supra n. 230 μήτηρ - αἰάζει μυρί' ὀδυρομένα. — 7 ΑΨΩ vel ΑΙΟ apogr. corr. Boeckh. — 8 ἔχῃ scripsi ex Dorvillii lectione ΕΧΕΙ, ceteri ΕΧΗ. Interpunxi praeterea post πατρί, *degas cum patre, et laudabitur pater gaudens talem ob filium.* See Michaelis, 'Anc. Marbles in Gr. Brit.' p. 496.

---

241. Smyrnae. In anaglypho pone mulierem sedentem iuvenis imberbis, ad dextram iuvenis mulieri dextram iungens, in utroque angulo puerulus. Iuvenes duo fratres mortui sunt. C. I. 3333.

Οἱ δισσοὶ συνόμαιμοι, ἰὼ ξένε, τῶιδ' ὑπὸ τύμβωι
ἄψαυστοι τέκνων κείμεθα κουριδίων·
Ἱκέσιος κἀγὼ νεαρὰν πληρούμενος ἥβαν
Ἕρμιππος κρυερὸν τόνδε ἔχομεν θάλαμον,
Ἅιδαν ἐγκύρσαντες ἀλάμπετον· εὐγενέτης δέ
Θεύδοτος οὐ στυγερὸν πένθος ἐφεῖδε πατήρ·
μήτηρ δ' ἡ δύστηνος ὀδύρεται οἷά τις ἀκταῖς
ἀλκυονὶς γοεροῖς δάκρυσι μυρομένα.
Μητρὶς ἡ λιπάδελφος· ἐρημωθεῖσα δὲ τέκνων
γηραιόμβιοτᾶς τέρμα ἐνέπλησε κακ[ῶ]ν.

II vel I a. Chr. n. saeculum produnt litterae ΓΚ, unde falso tradita est ω forma. De nominibus cf. C. I. 3141 Ἀπολλοφάνης Ἱκεσίου - ὑπὲρ τοῦ πατρὸς Ἱκεσίου καὶ τῆς μητρὸς Μητρεῖδος. — 5 sq. tit. Imbrius infra n. 327. εὐδαίμων Ἑλένη παιδὸς μόρον οὐκ ἐσιδοῦσα, ἀλλ' ὁ πατὴρ ἔτλη Λούκιος οὐχ ὅσια· εἶδε γὰρ ὀφθαλμοῖς τὸν ἐμὸν νέκυν. — 9 Metris aut fratrem reliquerat ut Theudotum virum sequeretur aut ipsa a fratre peregre profecto sive mortuo relicta erat. Verba sanissima defendit Boeckh. — 10 ΚΑΚΟΝ κακῶν Boeckh recte, cum lectionem ἐνέπλησε nunc testatus sit etiam Roehl *Sched. epigr.* p. 11. See Michaelis, 'Anc. Marbles in Gr. Brit.' p. 577.

---

242. Mytilenis. C. I. 2168.

— — — — — — — — — — — —

καὶ θάνον ἀτρέστῳ μαρνά[μενοι κραδίᾳ
σύμμα[χ]α δ' ἡγεμόσιν θέμενο[ι δόρα Ῥωμαίοισιν
πατρίδι τ[ὰ]ν κλεινὰν ὤπασα[ν εὐνομίαν.
ἦ ῥ' ἐτύμως τόδε σᾶμα λεόντε[σσιν πεφύλακται·
οἱ μὲν γὰρ θηρῶν φέρτατοι, οἱ δὲ βρο[τῶν.

Referrem ad Antiochi bellum, qui *omnes Asiae civitates - in antiquam imperii formulam redigere conatus est* Liv. XXIII 37, (Mytilenaei autem a Romanorum partibus steterunt Liv. XXXVII 21), si iota adscriptum esset dativo ἀτρέστῳ v. 1. — 1 suppl. Hermann. cf. A. P. VII 436 καὶ θάνον ἀστρεπτεί. — 2 sq. supplevi. — 3 ΤΟΝ quod nullo pacto servari potest. — 4 suppl. Herm. Eadem sententia A. P. VII 161. 344. 426.

242a Kil, p. 522.

243. Pergami. Apographum dedit C. Curtius.

a. *Τύμβον μέν, Φι[λάδελφε, Γλύκων] σοι δείμαθ' ἑτα[ῖρος,*
ὄντε λίπες τῆς [σῆς ἔκδοχον] υἷα τέχνης·
ὅσσον γὰρ σὺ κράτιστος ἰητρῶν ἔπλεο πάντων,
τόσσον τῶν ἄλλων ἔξοχός ἐστι Γλύκων.
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη μ[ε]τὰ δαίμονας ἄλλους
ἤλυθε σή, ναίεις δ' ἐν μακάρω[ν] δαπέδῳ.
ἵλαθι καί μοι ὄπαζε νόσων ἄκος, ὡς τὸ π[ά]ροιθεν,
νῦν γὰρ θειοτέρην μοῖραν ἔχεις βιότο[υ.

Ἄξιον, ὦ Φιλάδελφ', ἀρετ[ῆς πό]τμον ἔλλαχες αἴση[ς
ἔξοχ'] ἰητορίης, ἔξοχε καὶ σ[οφίης.
οὐ γὰρ δὴ νούσο . . . . , ...

— — — — — — — — — —

οἷον δὲ ὑπνώ[οντος] ἐρεύθεται ἄνθεα μήλ[ων,
τοῖος καὶ νέκυς ὢν κ[εῖσο] κατὰ [λ]εχέων·
νῦν σ[ε, πάτερ], δύναμαι θαῤῥῶν εὐδαίμονα κλήζειν,
ὄλβιε καὶ ζωῆς, ὄλβιε καὶ θανάτου.

Εἰ θάνεν Ἱπποκράτης - ἀλ[λ' ο]ὐ [θάνεν·] - οὐδ' ἄρ' ἔγωγε,
τοῦ πάλαι Ἱπποκράτους οὐδὲν ἀσημότερος.

Ἀλλ' ἔτυμον ψυχὴ μὲν ἐ[ν οὐρανῷ] ἡ Φιλαδέλφου,
σῶμα δὲ [ἀποφθίμεν]ον χθὼν ἱερὴ κατέχει.

b. *Χαῖρε, γύναι Πάνθεια, παρ' ἀνέρος, ὃς μετὰ μοῖραν*
σὴν ὀλόου θανάτου πένθος ἄλαστον ἔχω·
οὐ γάρ πω τοίη[ν] ἄλοχον Ζυγίη ἴδεν Ἥρη
εἶδος καὶ πινυτὴν ἠδὲ σαοφροσύνην.
αὐτή μοι καὶ παῖδας ἐγείναο πάντας ὁμοίους,
αὐτὴ καὶ γαμέτου κήδεο καὶ τεκέων,
καὶ βιοτῆς οἴακα κατευθύνεσκες ἐν οἴκῳ
καὶ κλέος ὕψωσας ξυνὸν ἰητορίης,
οὐδὲ γυνή περ ἐοῦσα ἐμῆς ἀπελείπεο τέχνης·
τοὔνεκά σοι τύμβον τεῦξε Γλύκων γαμέτης,
ὅς γε καὶ ἀθανάτοιο δέμας κεύθει Φιλαδέ[λφου,
ἔ]ν[θα] καὶ αὐτὸς ἐγὼ κείσο[μ' ἀποφθίμενος.

c. — — — — — — — — — — —
αἴ κ[ε] θα[νών, ὡς ζῶν] σοι ἐκοινώνησ[α . . . . .
ὧδε δὲ κα[ὶ ξ]υνὴν γαῖαν ἐφεσσάμενος.

II fere p. Chr. n. saeculi. vv. 1—11 et vv. 20—31 in duobus eiusdem cippi lateribus scripti sunt, quem in urbe apud Gregorium Georgi descripsit Curtius, vv. 12—19 et ultimum distichon leguntur in altero cippo, quem extra urbem idem adinvenit. Intellexit Curtius duos eiusdem monumenti cippos esse; num ordinem quoque epigrammatum perspexerit nescio. — 1 nomina supplevit Curtius. *ἑταῖρον* patris filius se nominat, socium scilicet in arte. — 2 *ἔκδοχος* melius non novi. — 9 extr. ΑΙΣΗ- nisi describendo erratum est, recte supplevisse putandus est Curtius. cf. v. 20 sq. — 10 *σοφίης* C. *ἔξοχε* supplevi ex similitudine v. 15. — 11 post hunc versum quantum interciderit exputare non queo. Ante v. 12 haec leguntur:

ΕΙ
ΩΝΔΕ.ΓΟΝ
ΑΙι...Ι||Ν...ΟΣΕΛΥ
ΝΟΣ ΟΙΟΝΔΕΥΠΝΩΩ *κτλ'.*

12 *οἷον δ' εὖ πνείοντος ἐρεύθεται ἄνθεα μήλου* Wilamowitz, quae sententia apta non videtur. Quod posui Curtii supplementum est. — 13 Anyte A. P. IX 745 *κατὰ λασιᾶν.* — 16 ΑΛ/ .Υ(certo restitui. — 18 ΜΕΝΕΙ — 22 ΤΟΙΗΑΛΟΧΟΝΖΥΓΙΗΝ — 31 *ἔνθα* et *κείσομαι* C. — 32

. ΑΙΚCΘΑ . . . ւ
ΣΟΙΕΚΟΙΝΩΝΗΣΚΑΙ/_. . .
ΩΔΕΔΕΚΑΣΥΝΗΝΓΑΙΑΝΕφΕ
vacat ΣΑΜΕΝΟΣ vacat

Videntur haec ad Glyconis epitaphium pertinere; v. 32 non expedio. Hil. p. 522.

---

244. Prope Cyzicum. Anaglypho mulier sedens expressa, iuxta quam quae altera fuit persona periit. E. Curtius *Act. acad. berol. min.* 1874 p. 5.

Μαιανδρίης τῆς Βακχίου.

Φερσεφόνα, τὺ φίλεργον ἀπέσπασες ἀνδρὸς ἀπ' εὐνῆς,
ἄκριτον ἐς θνατοὺς ἁλικίαν θεμένα,
εἰκοσέτιν· τᾷ κάλλος ἀφώρισε Κύπρις ἐν ἀστοῖς.
ἀλλὰ Τύχη σκολιοῖς δόγμασιν ἠντίασεν·
οὕνεκεν ἀλλοδαπὰν Μαιανδρίη ἤλυθε γαῖαν
ἀνδρὶ φιλοστόργους δεικνυμένα χάριτας.
ἀνθ' ὧν μοι τὸ μνῆμα πόσις κτίσεν, οὕνεχ' ἅμ' αὐτῶι
ἔκδημος γενόμαν πατρίδα λειπομένα·
Φερσεφόνας δ' ἀδίαυλον ὑπὸ στυγερὸν δόμον ἦλθον
πανσιπόνῳ λάθας λουσαμένα πόματι.

Litterae vulgares, iota modo adscriptum, modo omissum; notanda si recte tradita est v. 1 forma *ἀπέσπασες*. Doricam dialectum indicio esse ait Curtius, ex dorica aliqua civitate Cyzicum Maeandriam transmigrasse. At mirum esset, si ipsum mulieris nomen Μαιανδρίη ionice scripsisset; immo, ut solet fieri, poeta aliena dialecto usus erat dorica, defunctae tamen nomen mutare non ausus; lapidarius indigena pauculas sui sermonis formas admiscuit. — 1 melius scripsisset *τί φίλεργον*.

---

245. Cyzici. C. I. 3684.

Διονυσοδώρου Πυθέου.

α. Διονυσόδωρε, χαῖρε· β. καὶ σύ γε, ὦ φίλε,
τὸ νῦν ἔχ[ον γ]είνωσκέ με ὧδε κείμενον,
καλὸν καὶ ἀγαθὸν καὶ καλῶς ἐζωκότα,
Λιμναγενῆ γεγονότα, πᾶσι προςφιλ[ῆ].

Litterae vulgares. — 2 ΕΧΩΜΕΙΝ et 4 ΦΙΛΝ corr. Boeckh. — 4 Λιμναγενῆ miris modis interpretati sunt Boeckh et Welcker *Mus. Rh.* III 248. λιμναγενής is est qui ἐν λίμναις γέγονε. Λίμναι autem colonia Milesiorum est in Chersonneso sita, ubi si aeque atque in λίμναις atticis Dionysus inprimis colebatur, revera Dionysi donum erat defunctus.

246. Apud Cium Bithynorum. Lebas V 1145.

Ἐπ' ὠκυμο[ί]ρ[ου τ]ο[ῦτ]ον Ἀσκληπιοδότου
πατὴρ Νόητος χῶσεν εὐερκῆ τάφον,
καὶ ξεστὸν οἰκτρ[ο]ῦ παιδὸς ἀν[φὶ] σήματι
ἔθηκε βωμόν, πενταέτους τε εἰκῶ τέκνου
κενὴν ὄνησιν ὀμμάτων χαράξατο,
τὴν πᾶσαν εἰς γῆν ἐλπίδων κρύψας χαράν·
μήτηρ δὲ ἐν οἴκοις ἁ τάλαινα ὀδύρεται
νικῶσα θρήνοις πενθίμην ἀηδόνα.

Litteris quamvis vulgaribus sculptum epigramma perbonae aetatis est. — v. 1 ut grandioribus litteris scriptus et a ceteris seiunctus ne esse quidem carminis pars putabatur, unde ἐπ' ὠκυμόρου φόνον vel οἶκον vel ἐπ' ὠκυμορωτάτου 'A. scripserunt. Vnus Schneidewin *Allgem. Hall. Littztg.* 1843 n. 143 ἐπ' ὠκυμοίρου τοῖον 'A., recte opinor, nisi quod τοῦτον pro τοῖον esse debebat. Traduntur haec ΕΠΩΚΥΜΟΡΩΙ ΟΙΙΟΝΑΣΚΛΗ ΠΙΟΔΟΤΟΥ — 3 ΑΝΩ corr. Buecheler. — 7 ἁ τάλαινα non sollicitandum: articulus in hac formula legitimus et forma dorica archetypi est.

---

247. Hadrianis Mysiae. Lebas *Rev. de la Philol.* I 209. Distinxit Schneidewin *Mus. Rh.* IV 474.

'Τίς τίνος ἦν;' εἴρῃ· Κλάδος οὔνομα· 'καὶ τίς ὁ θρέψας;'
Μηνόφιλος· 'θνήσκω δ' ἐκ τίνος;' ἐκ πυρετοῦ·
'καὶ τὸ πόσων ἐτέων;' τρισκαίδεκα· 'ἀρά γ' ἄμουσος;'
οὐ τέλεον, μούσαις δ' οὐ μέγα φειλάμενος·
ἔζων δ' Ἑρμείᾳ μεμελημένος· ἐν γὰρ ἀγῶσιν
πολλάκις αἰνητὸν στέμμα πάλας ἔλαχον·
Ἀπφία ἡ θάψασα δ' ἐμὴ τροφός, ἥ μοι ἔτευξεν
εἰκόνα καὶ τύμβῳ σῆμ' ἐπέθηκε τόδε.

I vel II p. Chr. n. saeculi. Poeta ante oculos habuit Leonidae (fortasse Tarentini) epigramma A. P. VII 163 coll. v. 1 τίς τίνος εὖσα γύναι κτλ' v. 4 θνήσκεις δ' ἐκ τίνος; ἐκ τοκετοῦ. εὖσα πόσων ἐτέων; δύο κεἴκοσιν. ἦ ῥά γ' ἄτεκνος; οὐκ κτλ'. — 6 nota doricam πάλας formam rei convenientem.

---

248. Philomelii Phrygiae. C. I. 3982.

Αἴθαλος Ἐλάτῃι τῆι ἑαυτοῦ γυναικὶ φιλοστοργίας

καὶ μνήμης αἰωνίου χάριν.
α. *Φρά[ζε, γύ]ν[αι, γε]ν[ε]ήν, ὄνο[μ]α, χθόν[α]· πῶς δὲ θανοῦσα*
ἤλθες ἀπ' [ἀδεί]ας [π]α[στάδος] εἰς Ἀίδαν.
εἰπεῖν χρὴ σὰν μοῖραν, ὅπως εἰδ]ῶσιν ὁδεῖται
. . . . *ην.*
β. . . . . *πατρὶς δ'] ἐστί(ν) Θυάτειρα*
. . . . *Ἐλάτην δ'οὔνομ' ἔ]θεντο τροφ[εῖς*
α. *σῆμα δὲ τίς τόδ' ἔχωσεν; β. ἐμ]ὸς πόσις, ὁ πρὶν ἄθικτα*
ἡμετέρας λύσας ἅμ]ματα παρθενίης.
α. *πῶς θάνες; β.* . . . .*]ος, μοῖραι δὲ* ΡΟΠΙΜΟΙ
. . . .
α. *ἦ καὶ ἄπαις;] β. οὐ ξεῖνε· λέλοιπα γὰρ ἐν νεότητ[ι*
δισσοὺς ἀρτιγ]ενεῖς παῖδας [ἐν] ὀρφαν[ί]ῃ.
α. *ἔρχοιντ' ὀλβ]ίστη[ν] πολιῇ τριχί. β. καὶ σὸν ὁδ[εῖ]τα*
οὔριο]ν εὐθύνοι πάντα Τύχη βίοτον. —
ὅστις] ἐμεῦ στήλλαν [καὶ ἐμὸν] λίθον οὐκ ἀδική[σ]ε[ι,
οὗτος τὰν αὐτὰν μοῖραν ἐμοὶ λαχέτ[ω.

Expressum est epigramma ex Antip. Sidonii A. P. VII 164, quem ita sequitur poeta, ut vel dialectum tueatur ionicam, dorice vero paucis exceptis scribat quaecunque de suo addiderit. Antipatri autem epigramma et ipsum Leonidae A. P. VII 163 (cf. ad. epigr. praeced.) aut archetypon aut imitatio est. — 1 ΦΡΑΣΝΝΝΠΝΙΗΝΟΝ ΟΣΑΧΘΟΝ . ΠΩΣ Antip. v. 1. unde apographi indoles cognoscitur. — 2 ΑΠΑΛΙ.ΑΣΤΑ. . . . . . ΕΙΣ melius non inveni; neglecta adspirata non offendor. — 3 disctichi interpolati versum maiorem supplevit Franz. — 7 Antip. v. 3, ubi in mg. cod. γρ. ἔδειμεν (pro ἔχωσεν), quod qui invenit pro σῆμα legerat μνῆμα. Pro ἐμὸς πόσις Antipater Θεόκριτος. — 8 archetypi ignarus Franz λύσας ἡμετέρης ζώματα π. — 9 sq. distichon interpolatum: mortis ratio narrabatur: μοῖραι δ' ἐρίτιμοι Franz male. Videtur ῥοπή nomen latere. — 10 describentis errore intercidit. — 11 Antip. v. 7. — 12 ΠΑΙΔΑΣΟΡΦΑΝΗ — 13 ΙΙΣΤΗΙ — ΟΔΗΤΑ. Antipater, cuius mulier unum puerulum reliquit, ἔλθοι ἐς ὀλβίστην ἱερὴν τρίχα, ubi in mg. cod. γρ. πολιήν (pro ἱερήν), quae vera est lectio. Poeta vero Philomeliensis, ut observavit Wilamowitz, ex rei necessitate verba satis scite mutavit; eiusdem recepi supplementum. — 14 Antip. ἰθύνοι. — 15 . . . . ΖΕΜΕΥ—ΑΔΙΚ ΗΘΕ et v. 16 ΛΑΧΕΤΑΙ suppl. et corr. Franz. Distichon satis inepte sed ex more illius regionis additum.

249. Byzantii. Dethier et Mordtmann *Act. acad. Vindob.* 1864 XIII 49.

. . . . Ἀθαναίωνος.
. . . . ὤ]ς ἀσφαλὲς εἰπεῖν,
ἐλπίδα . . . . . . κλεινοτά]την πόλεως·
τοὔνεκά μιν φθίμενον δῆμος, θ]έμις ὡς ἀγαθοῖσιν,
θάψεν· ἀποφθιμένων τοῦτο γάρ] ἐστι [γ]έρας.

Editores IV saeculi esse titulum adfirmantes miror litterarum formas multo recentiores dedisse. Sententiam adumbrare studui. — 1 *ut tutum est dicere.* Cavetur ne dei tali laudi invideant: apertum enim est Athenaeonis filium his versibus laudari. — 4 ΤΕΣΤΙΤΕΡΑΣ vix aliam corrigendi viam invenies.

---

250. Panticapaei in museo. Stephani *Bullet. acad. Petropol.* XIII 163.

Κλεονίκ]α Μήνι[ος] χαῖρε.
Ἀμ]ισοῦ πολιῆτιν, ἀρίζαλον Κλεο[νίκαν,
Β]ιθυνὰν ἀρετᾶς εἵνεκα Πανελόπα[ν
ἅρπασε] δυσπενθὴς Ἀίδας· σεμνὸν δὲ τὸ [κούρας
σκᾶν]ος ὑπὸ στάλαι κρύπτεται ἀιενάω[ι·
τὰν ἀπα]λὰν κεύθει μορφὰν τάφος, ἀλλ' ἀμ[άραντον
πνεῦμ]α μένει κείνας ἐς φάος ἀθάνατον.

I fere a. Chr. n. saec. — Nomina praefixit editor. Κλεονίκα nomen eo probabilius mihi videtur, quod simile est Berenicae; nam haud dubie Theocriti (XVII 57) vel Callimachi (ep. 52 Schn.) versiculum imitatur poeta v. 1. — 1 suppl. Stephani. — 2 suppl. Keil apud Steph. — 3 suppl. Steph. nisi quod extremo loco ipse τὸ κείνας, Keil τὸ πρόσθεν posuit. — 4 σκᾶνος Steph., male vero αἰενάω[ς scripserunt. — 5 ἢ καλάν Steph. καὶ καλάν Keil; utrique praestat quod posui. — ΑΛΛ/ corr. et suppl. Keil. — 6 πνεῦμα Steph.

---

251. Panticapaei. C. I. 2109 g.

Λυσίμαχε, υἱὲ Εὐχαρίωνος χαῖρε,
Λυσίμαχον μύθοι[σ]ι προσηνέα πᾶσι πολίταις
καὶ ξ[ε]ίνοις Νομάδων ἔκταν[ε] θοῦρος Ἄρης·
ὧι] ἔπι πᾶς ἐλεεινὸν ἐπεστενάχησε θανόντ[ι
οἰκτείρων θαλερὴν ἀνέρος ἡλικίη[ν.

Litterae I fere a. Chr. n. saeculi, unde ΞΙΝΟΙΞ v. 2 vix fuit in lapide. Supplevit Boeckh.

---

252. Panticapaei. Anaglypho exsculptus vir adstante puerulo. Stephani *Comptes rendus* cett. 1861/2.

Φαρνάκη Φαρνάκου χαῖρε.
Φαρνάκεω στάλαν δέρκευ, ξένε, τὸν βαρὺς Ἅιδης
ἔκλασεν ἀγρεύσας δύσμορον ἡλικίην,
τέχνῃ παιδοτρίβαν, ἔτεσιν νέον, ἐγδὲ Σινώπας
πατρίδος, ἐξ ἀρετᾶς πρὸς δύσιν οἰχόμενον.
οὐ κάλπιν κρύ[π]τει γῆ Βοσπορίς, οὐδὲ λέληθεν
γυμνάσιον κωφοῖς δάκρυσι μυρόμενον.
αἱρετίσας δὲ πατὴρ στοργᾶι φύσιν ἐπροτέρησεν,
σχημάτιον τύμβωι σᾶμα λίθου θέμενος.

I fere p. Chr. n. saec. Praevalent formae doricae ut in paedotribae titulo. — 4 recte Sauppe (*Philol.* XX 511) ut virtutem artemque ostentaret Pharnacem in Graeciam (πρὸς δύσιν) profectum esse statuit, quamobrem in patria ad cenotaphium inanibus lacrimis deflent mortuum iuvenes. — 5 ΚΡΥΤΕΙ — 7 *pater naturam, quae filium peregre mori voluit, amore superans imaginem quae ipsi apta videretur elegit posuitque in tumulo.* Verbi προτερεῖν structura nova videtur.

---

253. Mesambriae (Boeckh) sive Marcianopoli (Lebas III 1564). C. I. Add. II 2055 b.

Οὗτος ἔχει τύμβ]ος τοὺς κα[ὶ] πάρος ὀρθὰ φρονεῦντας,
ξυνῶι δ' ἐν] τούτωι σήματι κεκλίμ[ε]θα·
ἡ μὲν ἐγὼ] Ξενώ εἰμι, ὁ δ' ἐμὸς πόσις ἐγγύθι ἐμεῖο
δείκνυσι, εὐσε]β[έ]ως [ὥ]ς βίον ἐπνέομεν.
νῦν δ' ὥσπερ ζ]ωοί, μακάρων τε μοῖραν ἔχοντες
κείμεθα] καὶ εὐσεβέων ἐν σκιεροῖς θαλάμοις.

Ex pravo apographo vulgaribus litteris scripto elicui quae ex poetae. sententia viderentur; plane alia Boeckh. — 1 ΠΡΟΣΤΟΥΣΚΑΡΠΑΡΟΣ correxi. Boeckh urbis conditorem velut Καρπάρης nominatum esse putavit. ὀρθὰ φρονεῦντας (ὀρθὰ νοεῦντες Herod. VIII 3) sunt recte iudicantes beneque cordati. — 4 ΒΙΩΣΑΣ correxi. — 5 sq. supplementa dubia Videtur poeta καὶ dedisse, quod postponi cum non novisset lapicida, τε substituit, cf. *Hermae* vol. X 199. — Ceterum vide A. P. VII 378.

254. Paphi Cypriorum. Lebas VII 2802.

Ἦν χρόνος ἡνίκα τόνδε σο[φ]ώτατον Ἑλλὰς ἔκλειζεν
 ἰ]ατρ[ὸ]μ ΙΑΙΤΑΜ παῖδα Δαμασσαγόρα·
ὧι Πά[φος ἦν μὲ]ν ἕδος, πρόγονοι δ' ὀνομαστοὶ ἀπ' [αἰχμ]ῆς
 ἔκ[γ]ονοι Ἀτρειδᾶν Ἑλλάδος ἀγεμόνων.

IV vel III a. Chr. n. saec. Exordium idem in Romani epigr. de Galeno App. Planud. 270 ἦν χρόνος ἡνίκα γαῖα κτλ'., petitum ex Theocriti VII 1 ἦς χρόνος, ἀνίκ' ἐγών τε καὶ Εὔκριτος κτλ'. — 2 ΓΑΤΡΩΜ corr. Wilamowitz: nomen a π vel β littera incipit. — 3 ΓΑ.... ΙΡΑΝΕΔΟΣ Sacellarius (Κυπριακά. Athen. 1855 p. 96) aperta interpolatione. ΓΑ... .....ΝΕΔΟΣ Waddington, qui quod supplevit certum non est. — ΑΓ. .ΙΗΣ ἀπ' αὐτῆς Wadd. ἀπ' ἀλκῆς sive αἰχμῆς Buecheler. Agamemnon Amathuntis Cypriae conditor notus est. Od. δ' 82. Engel *Cypros* I 228.

---

255. Citii. C. I. 2613.

Κρῆτα μὲν πατρίς μου, ὁδοιπόρε· τίκτε δὲ μάτηρ
 Νικώ, Σωσειάναξ δ'[ἔπλετ' ἐ]μὸς γενέτας·
Πραξαγόρας δ'ὄνομ' ἔσχον ἐπικλεές, ὃν πρὶν ἐπ'ἀνδρῶν
 θήκατο Λαγείδας κοίρανος ἡγεμόνα.

Litterae quidem vulgares ab Hammero traduntur; tamen recte videtur Boeckh ad Ptolomaei Lagi f. aetatem rettulisse. Ptolemaei copiae contra Demetrium in Cypria a. 306 pugnaverunt, cf. Droysen *Hellen.* I 445 sqq. — 2 δ' ἦεν Boeckh. — 3 sq. confert Boeckh C. I. 2621 ἡγεμόνα καὶ ἱππάρχην ἐπ' ἀνδρῶν.

---

256. Salamine Cypriorum. Vogue *Rev. archéol.* 1866 I 437. Lebas VII 2761.

α. Τύμβε, τίνος τόδε σῆμα; τεὰν ὑπὸ λισσάδα κε[ῖται
 τίς, φράσον, οἰκτροτάταν μοῖραν ἐνεγκάμενο[ς;
β. Δημῶναξ, Σαλαμὶς ὃν ἐθρέψατο παῖδα φέριστον,
 ἐμπορίαις πικρὸν δ'εἰς Ἀχέροντ' ἔμολεν,
πόντον ἐπιπλώσας ἁλιμυρέα καὶ πολυκλαύτῳ
 ματέρι καὶ γενέτᾳ στυγνὰ λιπὼν δάκρυα·
οὐχ ἧψαν γὰρ φῶς τὸ γαμήλιον, οὐδ' ὑμέναιον
 ἔκλαγον, ἀλλὰ γόους ὁ[κ]τακαιεικοσέτους.
οὐ κακὸς ἐστ' Ἀίδας· πάρι[θ]ι, ξένε, χαῖρε προσείπας,
 κοινὸς ἐπεὶ θνατοῖς ὁ πλόος εἰς φθιμένους.

I fere p. Chr. n. saec. — 1 A. P. VII 163 Παρίην ὑπὸ χίονα κεῖσαι. — 8 ΟΧΤΑ potest esse in lapide, nec mutarem, nisi Pieridis Graeci apographum esset. — 9 ΠΑΡΙΟΙ post infandos aliorum labores correxit Miller *Rev. archéol.* 1866 II 62. — 10 A. P. VII 452 κοινὸς πᾶσι λιμὴν Ἀίδης.

---

257. Neopaphi. Lebas VII 2790.

Κρί]σπιον εἰκοσέ[τη], χρυσ[έης θεοῦ ὄντα πολίταν,
Κυ]προγενῆ, το[κ]έων βα[κτρον . . . .
ἔκλα]σε συνθραύσας δαίμων βαρύς, οἱ δ'ἐ[φ]έρον[το
ὡς] σκείπωνι γονῆ[ς] γῆρας ἐρειδόμενοι
Γερτία [ἡ]δ' ὁ τάλας Διονύσιος· αἰσίμ[ου ἤθους
δεῖγμα Τύχη θνητοῖς θῆκεν ἀνωμαλίην.
ἦ ῥα θεοῖς οὐκ ἔστι βροτῶν λόγος, ἀλλὰ τ[υχό]ντες
αὐτόματ[οι] ζωὴν εὕρομε[θ'] ἢ [θ]άνα[τον.

II fere p. Chr. n. saec. Caesura ubique bucolica. — 1 nomen suppl. Waddington. — ΕΙΚΟΣΕΠΙ correxi. — ΧΡΥΣΟ.... suppl. Wilamowitz, qui etiam v. 4 ΓΟΝΗΙ et v. 5 ΝΔ correxit; idemque v. 3 ἔκλασε pro eo quod legebatur ἥρπασε posuit. — 2 ΤΟΡΕΩΝΒΑ...... ΜΝΑΜ. quae prave lecta sunt. — 3 ἐφέροντο Buecheler. — 5 acerbe dictum hoc, acerbius tamen v. 7 sq., ubi certa sunt supplementa. — 8 ΜΕΘΗΣΑΝΑ..

---

258. Alexandriae Aegypti. Ex Marietti ectypo Miller *Rev. archéol.* 1874 p. 51. Melius Nerutsos *Inscr. Alexandrin.* (*Athenaei* vol. III) p. 22.

Ὁ τύμβος οὐκ ἄσαμος· ἁ δέ τοι πέτρος
τὸν κατθανόντα σημανεῖ, τίς καὶ τίνος
εἰς Ἀίδαν βέβακεν· ἀλλά μοι σχάσας
τὸ νεκραγωγόν, ὦ φίλ', ἐν πέδωι γόνυ
χολαπτὸν ἄθρει γράμμα διπτύχοις κόραις.
πατὴρ μὲν Εἰρηναῖος· ἁ δέ τοι πατρίς
Μέμφις, τὸ δ'οὔνομ' ἀγορεύετ' ἐκ βρέφους
nomen — *ᾧ] φαῦλον οὐ συνείπετο*
ἀλλ' οὐδὲν ἢ] τὰν μοῖραν ὡς ἐπέδραμε.

III vel II a. Chr. n. saeculi. — 4 ΝΕΚΡΑΠΩΓΟΝ Miller, νεκραγωγόν Nerutsos, quod graecum saltem est; intellegere tamen non potui neque ante nec post Bursiani explicationem *Mus. Rh.* 1874. — 9 videtur

nova haec verbi ἐπιδραμεῖν structura; expectares ἡ μοῖρα ὡς ἐπέδραμεν αὐτόν.

---

259. Prope Memphin. C. I. 4703.

Γνῶθι μετ' εὐσεβέεσσι [σ]α[ό]φρονα Δωρίδα κεῖσθαι
ἀντ' ἀρετῆς ἱερὸν χῶρον ἀνευρομένην·
οὐ γὰρ ἅπασιν ὁμῶς θάνατο[ς β]αρύς, ἀλλ' ὅτις ἐσθλό[ς,
οὗ]τος καὶ θανάτου κοῦφον ἀπέσχε τέλος.

II fere p. Chr. n. saec. Restituit Welcker *Zur Sylloge* p. 69, nisi quod ἀταλόφρονα v. 1 scripsit. Traditur .|ΑΦΡΟΝΑ, corr. Franz. — 3 ΕϹΘΛΟΝ.

---

260 In aliqua littoris Cyrenaici parte. C. I. 5362 b.

Δέρκεο τὰν ἀρίσαμον, ὁδοιπόρε, τὰν Φερενίκας
εἰκόνα τᾶς μελέας, ἃν τάφος οὗτος ἔχει·
ἃ τὸ πρὶν ἐ[γ]καλύβοις, νῦν δ' εἰς Ἀχέροντα μολοῦσα,
ἃ στερόμαν τῶν πρὶν νυμφιδίων θαλάμων,
πατρὶ γόους προλιποῦσα Φιλοξένωι, ὃς τόδ' ἔτευξεν
εἴδωλον νύμφας μναμόσυνον θέμενος.

III vel II a. Chr. n. saec. — 3 ΕΓΚΑΛΥΒΟΙΣ male editores ἐν κ.

RELIQVA.

261. Corcyrae ex Forchhammeri et Crameri apographis C. I. Add. II 1907 bb.

a. *Ἦλθον ἐς ἀθανάτους πολλοὶ κατ' ὀλύμπιον ἕδρην,*
ἀλλὰ θεὸς τούτων ἐστὶ πατὴρ ὁ μέγας·
ὃς κόσμον διέταξε, σελήνην νυκτὶ κελεύσας
πείθεσθαι, Τειτᾶν' ἡμεριναῖς χαρίσιν·
ὧι πισθεῖσα δέμας μὲν ἐπὶ χθονός, ἧς ἀπετέχθην,
λείπω, τὴν ψυχὴν δ' ἀθανάτην ἔλαχον·

ἐν γαίῃ μὲν σῶμα τὸ συγγενές, οὐράνιος δέ
ἤλυθεν ἡ ψυχὴ δῶμα κατ' οὐ φθίμενον·
κεῖται μὲν γαίῃ φθίμενον δέμας, ἡ δὲ δοθεῖσα
ψυχή μοι ναίει δώματ' ἐπουράνια·
ἀθάνατος ψυχὴ τὰ μὲν οἰκία τῶν ἐν Ὀλύμπῳ
ναίω, σῶμα δ' ἐμὸν γαῖα φέρει φθίμενον.
ἓν μὲν ὑπ' ἀγκαλίσιν φέρομαι τέκνον ἐνδεχέ[τηρον
Εὐόδῳ, ὃς πόσις ἦν ὁππότ' ἔναε δόμους·
τεσσαρακονταέτης δ[ὲ] πρὸς οὐρανὸν ἀστερόεντα
ἤλυθον, ἐν γαίῃ σῶμ' ἐμὸν ἐνθεμένη.

b. Τοῦτ' Εὔοδος βροτοῖς πᾶσι παραινῶ.
τῇ ψυχῇ με[τ]α[δὸ]ς καλ[ῶ]ν ΤΕΧΘΕΙΣ,
καὶ τὸν βίον τρυφῇ παρηρόγησον,
εἰδὼς ἣν καταβῇς ἐς πῶμα λήθης
οὐ[δ]ὲν τῶν ἐπάνω κάτω που ὄψει
ψυχῆς ἐκ μελέων ἀπ[ο]πταθείσης.

Ante v. 1 paucae supersunt nullius momenti litterae. — 1 ΘΕ — 2 ΣΤ ΗΝ . . . . ΙΕΛΕ Franz γράψ' ἐλέων ὁ πατήρ, idemque supplevit correxitve v. 1 - 5. — 3 ΝΘΕΩ — 4 ΙΠΠΟΝΙΣΠΟΥΔΗΣ Franz ἐπί σπ. — 5 ΤΑΝΗΜΩΝ — 6 ΘΑΝΗΣ . . Ο . ΙΕ . . ΙΩΣΕΝ supplevit licet incerta ratione Wilamowitz, qui etiam v. 7 sententiam adsecutus est. — 7 ΔΕΞΑΛΟΓΟΝ — 8 ΩΝΕΙΚΑ ΜΕΣΦΑΛΕΡΑΜΟΣΑΔΕ.Ι . . ΝΑΣΕΝΙΑΙΓΟΔΟΥ extremae litterae ad v. 9 trahendae videntur. — 10 ΕΠΠΥΤΗΡΕΙ correxi. — ΣΧΕΔΑΣΣΑΣΗΔΟΝΗΙΑΡΕΔΕΙΝ ἐπισκεδάσαι Franz, qui infinitivus suspendi debet ex voc. αἴσιμον simil. Tum Buecheler talem fere structuram fuisse intellexit ἡνίκα γὰρ ἔδει με - στεφανοῦσθαι κτλ'. Non patet tamen a quibus ille honoratum se iri speraverit. — 13 ΚΑΙΤΟΥΣΕΙΣΑΕΠΝΕΤΕ dein in versus exitu nescio quot litterarum lacuna et proximi versus initio ΠΟΝΘΙΕΘΟΝΤΟΤΟΥΜΟΥ κτλ'. τοκέες verum puto, nam parentibus memoratis opus est propter v. 15. ἐγόωντο posui ut quid postuletur pateat. — 15 ΑΣΕΒΑΣΕΙΚΩΙΑΝΞΙΙΠΥΞΩΝΟΥ — ΑΛΛΟΘΕΟΙ quae tradita videtur sententia οὐ τέκνον ἄλλο θεοί non video quomodo ceteris adaptari possit.

---

336. Alexandriae Troadis esse recte coniecit Boeckh C. I. 3588.

Ἔστ]ιν τοὔνομά μοι Ἀφροδείσιος, ὦ παροδεῖτα·
εἰμὶ δ' Ἀλεξανδρεύς, τῶν δὲ [σ]ορ[ῶν] ὁ μέσος.
θν]ήσκω δ' οἰκτροτάτῳ θανάτῳ διὰ τὴν ἄλοχόν μου
κ]λειψίγαμον μιεράν, ἣν περὶ Ζεὺς ὀλέσει·
ταύτην γὰρ λάθριος γαμέτης καὶ μὸν γένος α[ἰσ]χῶν
ἴλξ[έ] με κἀφ' ὕψους δισκοβόλησε νέον·
δισδέκατον γὰρ ἔτος κατέχοντά με, κάλλος ἔχοντα
κλῶσσαι μοῖραι πέμψαν ἄγαλμ' Ἀίδῃ.
χαῖρε.

Litterae vulgares. — 2 ΧΟΡ . . χορῶν scripserunt nullo sensu. σορός vocabulum in ipsa illa regione, cuius esse epigramma coniecit Boeckh, masculino genere utitur, cf. C. I. 3580. 3586. Ceterum cf. C. I. 4579 ἡ σορὸς ἡ μεσάτη λέχος ἀνέρος Ἀντιόχοιο. — 4 πυρί coni. Wilam. — 5 ΑΥ ΧΩΝ recepi Iacobsii coniecturam (Welcker *Syll.* 51). — 6 ΙΛΞΣ θέλξε Boeckh; non opus videtur εἷλξε corrigere.

---

337. Cyzici. Anaglypho navis expressa cum viro ipso. C. I. 3694.

Ἤμην στολάρχης Ποντίων βελῶν ἐγώ,
ἐ]ξηρέτμοις πτέρυξιν ἠγ[λ]αισμένος,
ἀνὰ στράτον Κρισπεῖνος εὐκλεὴς ἀνήρ·

Ῥάβεννα δ' ἦν μοι πατρίς, ἀρχαία πόλις.
ἔγνως τίς ἤμην καὶ πόθεν γένος κυρῶ·
λοιπὸν φυλάσσου μή τινα ἐνθήσεις τάφῳ
δίκην τε ὑφέξις παρανόμως τυμβωρυχῶ[ν
φίσκῳ τε δώσις (δην.) ,β καὶ [τ]ῇ πόλει (δην.) ,α.

Classem Ponticam Elagabali aetate Cyzici collocatam fuisse tradidit Cassius Dio LXXIX 7. — 1 Muratorii lectionem ποντικῶν νέων ex Bimardi coniectura profectam esse probabiliter statuit Boeckh, qui vertit *telorum marinorum ductor.* De stolarchi officio v. Marquardt *Antiq. rom.* III 2 p. 402 coll. p. 405 adn. 49. — 2 ΘΞΗΡ — ΗΓΑΙCΜ et 8 ΙΗ corr. Boeckh. — 7 participium restituit Brunck. — 8 β et α lege δύο et μίαν metri causa.

---

338. Cyzici. Perrot *Revue archéol.* 1876 p. 354 ex ectypo.

Μίκκης οὔνομα μοῦνον ἔχει τάφος, εὐσεβέες δέ
ψυχὴν καὶ πεδίων τέρμονες Ἠλυσίων·
τοῦτο σ[α]οφροσύνης ἔλαχεν γέρας, ἀμβροσίη[ν] δέ
σώματος ὑβριστὴς οὐκ ἐπάτησε [χ]ρόνος·
ἀλλά νυ μ[ὲν νύμ]φῃσι μετ' εὐσ[εβέ]εσ(σ)ι κάθηται
ἀνέρος ἐν μνήμῃ [κάρτ]α φυλασσομένη.

I vel II saeculi. — vv. 1 - 4 non intellexit editor. — 3 ἀμβροσία i. q. ἀθανασία. — 5 ΝΥΜΦΗΣΙΜΕΤΕΥΣ|ΕΣΙ correxi non plane certa ratione; μέν nihil habet offensionis coll. A. P. VII 712 cuius ultimum distichon hoc est καὶ σὺ μέν, ὦ Ὑμέναιε, γάμων μολπαῖον ἀοιδὰν ἐς θρήνων γοερῶν φθέγμα μεθηρμόσαο. — 6 κάρτα Perrot, quo melius non habeo.

---

339. Cyzici positum fuisse titulum coniecit Boeckh C. I. 3685. Parisiis vidit Welcker *Syll.* 46. Anaglypho vir exsculptus sinistra metae innisus.

Σῆμα, . . . ἐσορᾷς ἐπιτύμβιον, ὦ παροδεῖτα,
εἵ]μαρτο πᾶσιν, οὐχὶ δ' ἐμοὶ δὲ μόνον·
εἰ] δὲ θέλαις σὺ μαθεῖν τὸ τίς ἐστί μ' ὁ τρώσας,
δισσῶν σου ταρσῶν στήσας ἴχνος σὺ μάθε·
οὐκ ἔφυγον δ' ἀτρεκῶς μυρῶν μίτον, ὅς μοι ἐπεκλώσθη·
ναύτης γὰρ προλιπὼν φοβερὸν [θ]ύ[μω]μα τὸ πόντου,
εἰς ἐμὲ τὴν ὀργὴν τοῦ πελάγους ἔθετο.
σῆμα δέ μοι τοῦτο ἐποίησε φιλίης χάριν ἐνθάδε Οὐνίων,

οὔνομα δ' ἦν μοι τὸ πρὶν Διονύσιος,
Ἀπρηνῶν δ' ἀνεθρέψατο γαῖα,
ἑκτὸν νεικήσας ὧδ' ἔλιπον τὸ φάος.
εἰ] δέ τις χωρὶς ἐμοῦ τοῦ Οὐνίωνος βάλῃ τινά, δώσει τῷ ταμείῳ (δην.) ,βφ.

1 ΣΗΜΑΕΣΟΡΑΣ post σῆμα aliquid intercidit, nec fuit quod Boeckh posuit σῆμα τόδ' εἰςοράᾳς. Fortasse σῆμα, ὅπερ ἐςορᾷς. — 2 init. ΗΜΑ ΡΤΟΝ legit Welcker, nec tamen ipsius neque aliorum coniecturae probari possunt. Eleganter Iacobs τέκμαρ ἐόν, sed elegantius quam quod hoc loco ferri possit. Ego quod scripsi verum esse non spondeo. — 3 ΘΕΛΑΙΣ non erat sollicitandum; optativus aoristi barbari ἤθελα recte formatus. — 6 ΟΥΝΟΜΑ corr. Welcker. Oratio ἀνακόλουθος: *cum ego qui auriga essem navem ascenderem, Parcarum vis* (μυρῶν μίτος v. 5) *in me maris iram convertit.* Nihil hic reconditius.

---

340. In valle Macesti fluminis in vico Cespit. Ex Hamiltonis *Researches* I 324 Welcker *Mus. Rh.* III 250.

Ἀσκληπιάδης καὶ Ἀρτεμισία τῷ γλυκυτάτῳ τέκνῳ καὶ ἑατοῖς μνήμης χάριν. εἴ τις τολμήσει ἐπανύξασθαι ἐκτὸς τῶν γεγραμμένων, θήσει εἰς τὸ ἱερώτατον ταμεῖον (δην.) ,βφ'.

Πρωθήβην] μ' αἰζηὸν ἀμείλικτο[ς κ]τάνε μοίρη
ἄρτι κλυτῶν Παφίης ἁψάμεν[ο]ν θαλάμων·
π]ένθεσι δ' οὐχ ὁσίοισι [δ]υςέ[λπιδες . . . .
. . . . παῖδ' ἕ[τ]ερον μελάθροις.
εἰ δὲ θέλεις γνῶναι τὸν ἐμὸν βίον, ὦ παροδεῖτα,
ἦ[ν] μέν μοι τέχνη λαοξόος, οὔνομα Μειδίας,
ἐς δὲ θεοὺς ἀνέλυσα [κ]αὶ ἀθανάτοισι μέτειμι·
ὅσσους γὰρ φιλέουσι θεοὶ θνήσκουσιν [ἄωροι.

II vel III saeculi. — 1 πρώθηβον Wilamowitz; praetuli alteram formam propter aliorum epigrammatum exordia. — ΚΤΟ | ΕΡΤΑΝΕ ἥρπασε Welcker. Alterius distichi facilius fuit errorem deprendere quam corrigere. Sic enim traditur:

ΘΑΛΑΜΩΝΕΝΘΕΣΙ
ΔΟΥΧΟΣΙΟΙΕΙΛΥΣΕΧ
ΟΝΑΠΕΙΝΠΑΙΔΕΕΡΟ
ΝΜΕΛΑΘΡΟΙΣ

Heptametrum fecit Welcker; aliquae excidisse certum est, plura

tamen quam quae unum 16 - 18 litterarum versiculum expleant. πένθεσι recte Welcker, ἕτερον Waddington ap. Lebas V 1771. Reliqua fortasse sic conformanda: πένθεσι δ' οὐχ ὁσίοισι δυσέλ[πιδες ἄρτι τοκῆες — παύσαντο στ]ονα[χ]εῖν παῖδ' ἕτερον μελάθροις. — 6 H in fine versus, ἦν Buecheler. — 8 ἄωροι non legitur, sed spatio decem fere litterarum interiecto ΤΕΓ, qui videtur annorum numerus corruptus esse.

---

341. In valle Macesti fluminis in vico Cespit. Ex Hamiltonis apographo Lebas V 1769.

Σ[ῶ]μα [π]έτρος κα[τ]έ[χει τ]ὸ Λεωνίδα
σὺν γαμετῇ ἁγνῇ Ἀφροδεισί[ᾳ]· ἆθλ[α δ]ὲ τοῦδε
παγκρατ[ί]ων κρατερῶν θέσπισε μοῖρα μ[ένειν.
σῆμα δὲ τεῦξε γονεῦσι φίλοις Νεί[κις] καὶ ἑαυτῷ
Ἀμμιαν[ῇ] τε ἐρατῇ [γ]αμετῇ
μνήμης χάριν.
ἔτους τκβ'. i. e. epochae Sullanae a. 322, p. Chr. n. 237.

1 ΣΟΜΑΤΕΤΡΟϹΚΑΙΕ | . ϹΠΟΛΕ correxi. Cetera supplevit Waddington, quorum quod v. 3 posuit certum non existimo. — 5 ϹΑΜΕΤΗ.

---

342. In valle Macesti fluminis in vico Cespit. Ex Hamiltone Welcker *Mus. Rh.* III 251.

Χαῖρε.
Ἄνθος ἀνερχόμενον Στεφανήφορος ἐνθάδε κεῖται
. . . .
. . . . νυμφῶν [π]α[ρ]ὰ [λ]ουτροῖς μοῖρα[ν] ἔπλησ[ε]ν
ἐτῶν γ̄.

2 sic traditur: κεῖ ΤΑΙΠΗΜΑΝΗΤΟϹ
. . ϵΥΑΝΤΙ . . .
ΝΟΜωΝΔ . . . .
ΙΤΘΗΝΑΙΒΙΛΛΗ νυμφῶν

Incertum v. 1 nomen sit an adiectivum στεφανηφόρος; nomen potest latere v. 2, velut πῆμ' Ἄννιος [θρ]έψαντι [λιπὼν] τῷ δεῖνα ἠδ' [ἅμα] τίτθῃ Ναιβίλλῃ. Facilius quidem nutricis nomen Λιβίλλην i. e. *Livillam* fuisse crederes, quod voluit Wilamowitz, at accusativum τίτθην non intellegeres. — 3 ΓΑΓΑ | ΟΥΤΡΟΙϹ — ϵΠΛΗϹΑΝ corr. Welcker,

---

343. Germae. Lebas V 1720.

Μνῆμα τόδ' Αὐ]ρηλία τεχνήσατο δεῖα γυναικῶν
ἀνδρὸς ἀρι[στ]ῆος ἔργεσι καὶ σοφίῃ,
nomen defuncti *ὃς] πᾶσι περικτιόνεσσι θεὸς ὥς*
τείετο, [πρὶ]ν βιότου [τοῦ]δ' ἐπὶ τέρμ' ἐπέ[βη.
ἦν γάρ, ἐπε]ὶ καὶ δῆρις ἔην . . . .
μοῦ[ν]ο[ς] ἔ[τ]' ἀ[ντι]πάλοις δεῖμα κατε[ρχομένοις.

2 ΑΡΙΗΟϹ correxit ut pleraque Waddington. — 4 Ϲ.ΗΝ *ἐπήν* Wadd. — 4 *τοῦ* syllaba ex antecedentis similitudine intercidit describenti, et simile quid factum puto v. 5 ΕΗΝΤΙΕΙΜΙΝΟΥΕΙΝ, ubi litterarum numerus non sufficit explendae lacunae; conieci *περιτεμνομένοισιν.* Fateor tamen fieri posse ut totum hoc distichon novo ex apographo aliter plane conformandum sit. — 6 ΜΟΥΜΟΚΕΠΑΠΠΙ — ΚΑΤΕΤΚ... corr. Wadd.

---

344. Prope Hadrianos. Lebas V 1057·

. . . . . π]αίδων ἀώρ[ων . . . .
καὶ θ]ρῆνος γονέων ἀπαρήγορον ἐνθάδ' [ἀθρ]ήσας
γνῶθι τέλος βιότου· διὸ παῖζε τρυφῶν ἐπὶ κόσμῳ,
πρὶν σῶν παίδων πένθος τοῖον ἀθρῆσαι ἐπὶ τύμβοις.
τίς ἡμετέρων γονέων παρήγορος ἔσται ἐνὶ οἴκῳ
ἢ θρῆνος παύσει πολυώδυνον ἐν βιότοιο;
τίνα χερσὶ[ν π]ατὴ[ρ] ἢ περιπτύξεται ἢ τίνα κλαύσει;
Μηνόφιλον θρηνεῖ· Τερτύλλαν παρήγορον ἕξει;
ἢ Μαιάδιν τὸν ἄριστον; πλείω πένθος ὤπασε τούτοις.
πάνγεος καὶ δῆμος ἡμετέρους γονεῖς στονάχη[σεν,
τοὺς πολύπαιδας ἄπαιδας ἐν στέρνοις ἰὸν ἔχοντας,
ὧν βίος ἠμαύρωται παίδων χάριν ὧν τέκον αὐτοί.
καὶ θρῆνος βαρύδουπον ἔχει πατὴρ Εἰλάσιος οἴκοις
σὺν φιλίῃ συνεύνῳ, ἡμετέρῃ μητρὶ Σωφρονίῃ·
λείψατε νῦν θρήνους, γόους, στοναχάς, ἱκνούμεθα νε[κροί,
καὶ σκέπ[εσθε κε]νοῖς Μαιαδίου λείψανον οἴκ[οις,
τεχθεῖσαν Πρισκιανὴν πενταμηνιαῖον κατ[αθήκην.

2 suppl. Waddington. — 7 ΧΕΡϹΙΚΡΑΤΗϹΗΠΕΡΙ correxi, nam quis amplexetur dicto opus est. — 5 - 9 *quem pater deflebit? quem consolantem habebit? flet Menophilum: num Tertulla eum consolabitur aut Maeadius? Maeadio et Tertullae uxori vel plura dedit lugenda mala fortuna (πένθος), quippe qui non parentibus solum filii, sed etiam filiolae parentes erepti sint*

(v. 16). — 10 πᾶν γένος Wadd., sed traditum defendi potest, καὶ postpositum ex crebro confusis καί et τε particulis explicandum. — 11 confert Buecheler Moschi IV 31 (Megara) φαρμακόεντα δι' ἥπατος ἰὸν ἔχουσα. — 15 debebat transitus quidam fieri (velut ἀλλά) ad illud quod sequitur *vivorum meminerimus*. — 15-17 suppl. Wadd. — 16 ϹΚΕΠΙ..ϹΙϹ.ΝΟΙϹ.

---

345. Apameae Bithynorum. C. I. 3715.

Ἄρτι γενειάζοντά μ[ε ὁ] βάσκανος ἥρ[π]α[σε] δαίμων,
ὀ[γδ]ωκαιδ[εκέ]τ[η]ς [ἔστιχ]ον εἰς Ἀ[ί]δην.
μῆτερ ἐμή, θρήν[ων ἀ]ποπαύεο, λ[ῆ]ξον ὀδυρμῶν
κ[αὶ] κοπετῶν· Ἀίδης οἶκ[τ]ον ἀποστ[ρέφ]εται.
Γάιος καὶ Κλεοπάτρα Νωνίῳ . . . κῳ τέκνῳ ἰδίῳ
μνήμης χάριν.

1 ΜΟΣ correxi. Є et Ϲ fuerunt rotundae: scripserunt με βάσκανος. — ΗΡΗΑ.. — 2 ΟΙΑΩΚΑΙΔΟΡΑΤΡΕΣ..ΙΚΟΝ scripserunt ὀκτωκαιδ. — ΑΔΗΝ — 3 ΘΡΗΝΙΟΜΗΠΟ — ΛΕΞΟΝ — 4 Κ.Η — ΟΙΚΙΟΝΑΠΟΣΤΙ..ΕΤΑΙ hoc corr. Buttmann, cetera omnia Iacobs. Iuveni praeter Nonium alterum nomen fuisse videtur. — Exordium carminis haud rarum Theocriteum est XI 9 ἄρτι γενειάσδων.

---

346. Cii. C. I. 3741 et plenius ex suo apographo Lebas V 1163.

Σπεῖσον ἐμοὶ δακρύων ὀλίγον, ξένε, κἄμ' ἐλέησον
νηπίαχον κούρην ἐν χθονὶ κρυπτομένην·
τέτρατόν ἐστι δ' ἐμοὶ ζωῆς ἔτος· ἢ [μ'] ἀνέθρεψεν,
θάψεν Ἐπίκτησιν τοὔνομα κληζομένην.

I p. Chr. n. saeculo vix recentius. — 3 ΗΝΔΑ Lebas ΗΙΛΑ Pocock. ἣ δ' Boeckh. ἣ μ' Iacobs.

---

347. Cii. Lebas V 1164.

Ἐνθάδε τήνδ' ἀνέθηκα γραφὴν σημ[άν]τορα τύμβου,
υἱὸς Εὐσεβίης μητέρα τὴν ἰδίην,
ἧς ζητεῖς εὑρεῖν τοὔνομα. — καὶ τὸ τέκνον; —
Εἰρη[ναῖος ἔ]θηκέ[ν] με ἀ[νέστη]σέν τε Κιανός.

II fere saeculi. — 1 ΣΗΜΗΤΟΡΑ correxi suadente Wilamowitzio. — 4 ΕΙΡΗΛ — ΘΗΚΕΜΜ Εἰρηναῖος ex Buecheleri scripsi coniectura; necdum

vero falsum esse persuasum habeo, quod olim conieci καὶ τὸ τέκνον; εἴρῃ· ut sequatur nomen bisyllabum coll. supra n. 247 τίς τίνος ἦν; εἴρῃ· Κλάδος οὔνομα κτλ'.

---

348. Cii. Lebas V 1154.

> Ὁ φθονερὸς ζωῆς με τὸν ἄθλιον ἔφθασε δαίμων
> ἀρτιθαλεῖς κ[λά]σας ἐλπίδας ἡλικίης·
> καὶ [νῦν τύμ]βος ἔχει τὸ ἐμὸν δέμας. . . . .
> — — — — — — — — — —

Litterae saeculi II. — 2 suppl. Waddington coll. Ios. *bell. Iud.* III 7, 13 κλάσαι τὴν ἐλπίδα ταύτην. — 3 ΚΑΙΙ suppl. idem. — Post δέμας: Γ et versu sequenti paucula litterarum vestigia. Narrabatur anima quo migrasset.

---

349. Nicomediae. C. I. 3790 ex Pocockio, qui quattuor versuum fuisse epigramma ait; descriptum vero se perdidisse, primum tantum versum memoria habuisse.

> Ἑκτόρεον τύμβον, [τ]ὸν ἐθαύμασε θεῖος Ὅμηρος.
> — — — — — — — — — — — —

Litterae vulgares. Huc rettuli, quia qualis fuerit titulus nescio. — ΟΝ corr. Boeckh, μὲν coni. Wilamowitz.

---

350. Nicaeensem esse titulum collegit ex epigr. sequenti Boeckh C. I. 3765.

> Τὸν θρασὺν ἐν σταδίοις ἐσο[ρᾷ]ς με νέκυν, παροδεῖτα,
> Τα[ρσέ]α, ῥητιάριν, δεύτερον πάλον, Μελάνιππον·
> οὐκέτι χαλκε[λ]άτου φωνὴν σάλπιγγος ἀκο[ύων
> οὐ]δ' ἀνίσων αὐλῶν κέλαδον λ[α]ῶν ἀνεγείρω.
> φασὶν δ' Ἡρα[κλ]έα δύο καὶ δέκα ἆθλα τελέσσ[αι,
> αὐτὰ[ρ] ἐγὼ τελέσας τρισκαίδεκα τὸ τέλος ἔσχον.
> Θάλλος καὶ Ζώη Μελανίππ[ῳ] μνείας χάριν ἐκ τῶν ἰδίων ἐποίησαν.

Litterae pergrandes et pulcerrimae esse perhibentur. Recepi fere Boeckhii supplementa, nisi quod v. 2 ΤΑΙ | . . ΑΡΗΤ (in Muelleri apogr. ΤΑΥ) ἐθνικόν praetuli. τάγμα Boeckh; at non ordine sed armis retiarius

est. — 4 Λ | . ΛΩΝ incertum interciderit littera necne. Welcker ἀθλῶν. Recte mihi Boeckh explicare videtur *olim M. dato tuba certaminis signo et accinentibus pugnae tibiis populi excitaverat plausum et tumultum.* — 6 . ΥΤΑΔΕΓΩ ab initio plus unius litterae spatium non est. Boeckh ταῦτα δ' ἐγὼ - τρισκαιδέκατον τ. ἔσχον, quae impedita est structura. αὐτὰρ scripsi, quod etiam Iacobs coniecit, et retinui τρισκαίδεκα.

---

351. Nicaeae. In anaglypho retiarius armatus. C. I. 3764.

Τὸν θρασὺν ἐν σταδίοις ἐσορᾷς με [νέκ]υν, [παροδῖτα,
Χρυσ[ε]όμαλλον ῥητιάριον, τὸν πρὶν δὲ κυ[ν]ηγόν,
θήρας ἐν σταδίοις πάσα[ι]σ[ι] πλάνη[ς τ]έχν[αι]ς ἀρ[ίδηλο]ν.
ἔκ[τ]εινεν δέ [μ]ε Ὑ[λ]εύς, ὃν οὐκ ἤσχυσα [πλ]ανῆσ]αι·
μοῖραν δὲ οὐκ ἔφυγον, ἐπεὶ ἦν μίτος οὗτος ὁ μοιρῶν.
Ἡλιόδωρος . . . . Χρυσομάλλῳ ἐκ τῶν αὐτ[ο]ῦ μνείας χάριν.
χαῖρε παροδῖτα.

Pessimi apographi pleraque vitia certo modo restitui nequeunt. — 1 cf. epigr. antecedens. — 2 ˙ΕΧΡΥΣΟΜΑΟΛΛΟΝ correxi ex Anth. P. VII 563. — ΚΥΛΗΤΟΝ corr. Boeckh. — 3 ΠΑΙΖΑΣΠΛΑΑΝΗΕΧΝΗΣΙΔΡΠΛ . . . . . . Ν ἀρίδηλον Boeckh; cetera scripsi ut aliquam efficerem sententiam. πλάνην, cuius verbum πλανῆσαι v. 4 restituit Boeckh, astum fallaciamque intellego, qua contra feras venatores utebantur; variae erant artes, quae descriptae a Cassiodoro *Var.* V 42 in diptychis quibusdam repraesentantur, cf. Friedlaenderi adnot. in *Marquardti antiq. rom.* IV 568. — 4 acerbo lusu πλανάω verbum, si quidem verum est, in gladiatorem convertit; nam hac in re retiarii contra myrmillonem versatur certamen, ut arte doloque myrmillo adducatur, scuto ut caput nudet, cui rete iniciat adversarius. ΕΚΕΙΝΕΝΔΕΙΕΥΔΕΥΣ nomen gladiatoris Ἰχθύς fecit Boeckh, ego Ὑλεύς. Saepius enim illis hominibus magniloqua ex fabularum memoria repetita nomina indebantur. Danaus πύκτης *Mus. Rh.* VI 86 n. 9. Hyleus venator Calydonius Apollodor. I 8, 2. — 6 ΒΕΔΤΑΣΤΙΝΟΣ fortasse πελταστικός, quod graece dictum sit pro *velite*, de quo gladiatorum genere v. Friedlaender *Mus. Rh.* X 588.

---

352. Prope Claudiopolin. Perrot *Explorat. archéol.* p. 48 n. 27.

Ἀκείλιον Θεόδω[ρον] ἰατρῶν πρό[μον,
σπουδαῖον, εὐ[προσήγορον] καὶ εὐσχή[μονα
υἱὸς Θεόδωρος [θάψε κ]ῆδος συντε[λῶν,

Θεόδωρος ἀρχί[ατρος] ἐπιλείβων [δάκρυ·
γυνὴ δὲ Φιλοκρά[τεια] ἐν δόμοις μ[ένει,
τρέφουσα παῖδα [παιδὶ] καὶ πόθους [πόσει.

II fere exeuntis saeculi. Ne adgnovit quidem versus editor, qui tamen recte v. 4 ἀρχίατρος et v. 5 μένω scripsit. — 2 suppl. Wilamowitz simul observans εὐσχημοσύνην propriam esse medicorum laudem. — 5 hiatus nomine proprio excusatus. Philocratea defuncti uxor fuit, cui filius infantem alendum conmisit.

---

353. Prusiade ad Hypium flumen. Perrot p. 27 n. 13.

Ἀττίου Λιβιανοῦ παῖδα κορνοκλαρίου
Ἄττιον Λιβιανὸν σῆμ' ἔχι τόδ' ἓξ ἐτῶν.

Versus adgnovit etiam Froehner *Mélanges epigr.* p. 12.

---

354. Prusiade. Lebas V 1182.

Ἐνθά]δ[ε τὴν ἱερ]ὰν κεφαλὴν [κατὰ] γῆα καλύπτι,
ἡ]ρώων προγόνων [κοσμήτ]ορα [θεῖ]ον Πα[υλεῖνον·
καὶ πάντες [δάκ]ρυ[ον] στρατιῆς [τ]ὸν λαμπ[ρ]ὸν [ὕπαρχον.

Non minus quam primi secundi versus certa est restitutio, cf. C. I. 5815, qui titulus v. 1 eundem habet, v. 2 hunc ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ἀλκειβιάδην, ubi ex epitaphio homerico nihil mutatum nisi nomen. — 2 ΠΑΙΛ — 3 ΤΕϹ..ΡΥϹ — ΛΑΜΠΙΟ Ν unde non liquet, quo Ν littera pertineat.

---

355. Flaviopoli. C. I. 3806. Ex Mordtmanni apographo in *Actis acad. Monac. min.* 1863 I p. 209 n. 7.

Ἰουλιανὸς Ἀλεξάνδροιο ἀνὴρ σοφὸς ἐνθάδε μίμνω
σὺν σεμνῇ ἀλόχῳ Ἀγαπήτῃ, ἀνδρὶ ποθητῇ,
σύν τε φίλοισι τοκεῦσι καὶ τέκνῳ αἰὲν ἐοῦσιν.
ζῶν φρον[ῶν.

2 Ἀγαπήτην nomen feci. — 4 ΦΡΟΝΟΣ.

---

356. Hadrianis. C. I. 3797 d.

Ἴδ[ρ]ις Ἀθηναίης Τρόφιμος τόδε σῆμ' ἐποίησα

αὐτῷ καὶ τεκέεσσιν· ἰ[ς] ἡμέτερον δ' ἄρα τύμβον
ὅς χ' ἕτερον θάψῃ, [ὅ γε] ποίνης εἵνεκα δώσει
τῷ ταμίᾳ χρυσοῦ[ς] ὀκτάκι τοι δεκάτους.
Τρόφιμε χαῖρε.

III fere saeculi. — 1 ΙΔΙΟΙϹ corr. Boeckh. Idem exordium in titulo Patarensi infra n. 412 ἴδριν Ἀθηναίης πάντων Διονύσιος ἔργων. — 2 ΙΕ Boeckh ἐς. — 3 lacunam explevit Boeckh. — 4 LXXX aurei romani i. e. HS 8000. — Trophimus postquam vivus sibi liberisque suis monumentum fecit, ipse primus eo conditus est.

---

357. Hadrianis. C. I. 3797 e. Melius ex Mordtmanni apographo in *Actis acad. Monac. minor.* 1863 I p. 209. Lebas V 1059.

Παῖδες μὲν πατρὶ ταῦτ', ἄλοχος γαμέτῃ δὲ ἔτευξεν
ἀντὶ φιλοφροσύνης Τελεσφόρῳ Ἀλεξάνδρῳ·
Χρήσιμος ὀνόμασιν, Ἀλεξάνδρεια δὲ μήτηρ
σῆμά τε καὶ βωμὸν τεῦξαν ἀποφθιμένῳ.

3 ὀνόμασιν videtur esse *nomine fratrum.*

---

358. Beyik Bithynorum in vico. Lebas *Rev. de la philol.* I 209.

Ἡ τὸν ἀπειρέσιον θνητῶν βίον ἐκτελέσασα
ἁβροσύνῃ Ἀρήτη ἡ λανπροτάτη,
κεδνή, ζήσασα ἐνδόξως ἑκατὸν λυκάβαντας
ἐνθάδε κεῖμε σήματι τῶν γενετῶν.

Duplex nomen mulieri fuisse cum vix credibile sit, ἁβροσύνῃ scripsi. — 2 λαμυρωτάτη coni. Wilamowitz. Numeros corrigere ausi sunt Lebas *l. s. s.* et Meineke *Diar. litt. antiq.* 1844 n. 130.

---

359. Modrenis. Perrot p. 59 n. 42.

Ἀλκιβιάδην Κλον[ίου] κατέχει τόδε σῆμα Κάλης τε,
χρηστότατον παίδων ἐ[ννε]ακαιδεκέτη.

Editor versus non adgnovit. Κλόνιος nomen nescio an non verum sit.

---

360. Dorylaei Phrygiae. C. I. 3816.

Ζ[ώ]ν[η] μὲν πρώ[τι]σια καὶ Ἀττικῷ ἀγλαὰ τέκνα

Ἄφφη, Μένανδρος, Ἀσκληπᾶς καὶ Ἀττικός
ζήσαντι ἀμέμπτως τὸν ἐπιμόχθητον βίον.

1 ZHNITMEN vel TAMEN duplex P. Lucae apographum. Matris nomen cum necessarium videretur, recepi quod coniecit Wilamowitz.

---

361. Prope Midae sepulcra. Perrot p. 147 n. 98.

Χαῖρε μάκαρ, πολύολβε θεῶν, Ὑπερεῖον ἐλ[αύνω]ν·
πάντων γὰρ [φ]ίλο[ς] ἐσθλός, πάτρης πρόμος ἐν[θάδ]ε ν[α]ίει
— — — — — — — — — — — — — —

Εἶπας, Ἥλιε χαῖρε Cleombrotus periit Callimacheus. — 1 ЄΛΛΙΙ Ν quod scripsi verum videtur. — 2 CΙΛΟ. — 3 ЄΝCΛΛЄΝΙЄΙ ἐνθάδε μύει coni. Wilamowitz. Dein 20 fere litterarum lacuna et extremo titulo ΠЄΠΛΗCΙΑΚΑΡΠΟC.

---

362. Cotiaei. C. I. Add. III 3827 s. Keil *Philol.* IX 446. Perrot p. 117 n. 78.

Πόλεων μὲν εἰμὶ δύο πολείτης, ἐπιφανῶν
Πρυμνησσέων τε καὶ σοφῶν Κοτιαέων,
θρεπτὸς γενόμενος Ζωτικοῦ Λεωνίδης,
Ψοφᾶς ὁ κληθείς· ταῦτα τοῖς φίλοις λέγω·
παῖσον, τρύφησον, ζῆσον· ἀποθανεῖν σε δεῖ.
Θ]ΕΟΝΕΟΙΟΟΡΧΗΣΑΙ

II vel III saeculi. Ex Perroti apographo Ψοφᾶς (vulgo Ψόφαξ) et παῖσον (vulgo παῖζον) scripsi; alterum ex coniectura etiam Franz. Subscripta nemodum intellexit. Θ litteram ex Steuarti apographo (*Mus. Rh.* III 246 n. 19) addidi, ibidem vero Ο ante ὀρχησαι omissum. Franz οἱ Θεώνειοι ὀρχησταί. Meineke (*Diar. litt. antiq.* 1844 p. 1038) θεῶν νέων (i. e. M. Aurelii et L. Veri) ὀρχησταί.

---

363. Cotiaei. Perrot p. 119 n. 80.

Ἀλέξανδρος τοῦ Ἀγαθ[είνου.

Μνή]μης ἕκατι τήνδε ὁ Ἀλέξανδρος σορὸν
ἀίδι]ον οἶκον τευξάμη[ν] τῇ φιλτάτῃ
σεμ]νῇ συν[ε]ύνῳ· οὓς συνή[γ]α[γ]εν γάμῳ

Κύπρ]ις, κυροῦντα[ς] ἄλλον ἐξ ἄλλ[η]ς χθο[νός,
λέκ]τρον τ' ἔδωκε μέχρι τέλους ἐπήρατον.
βάλ]λε, ὦ παροδεῖτα, [δά]κ[ρυ]ο[ν] ἐντυχὼν γραφαῖ[ς.

II vel III summum saeculi. Patris nomen exempli causa addidi. — 2 ΜΗΓΑ — 3 ΙΝΗϹΥΝΠΥΝΩΟΥϹϹΥΝΗϹΑϹϹΝΓΑΜΩ — 4 ΙϹϹΙϹΚΥΡΟΥΝΤΑΙ in quibus συνήγαγεν Kiessling, Κύπρις Wilamowitz dedit. — ΛΛΑϹ — 6 ΤΑΜ ΜΚΙΝ⌒Ρ quod potest δάκρυον fuisse.

---

364. Cotiaei. C. I. Add. III 3827 cc.

Πραιτωρεανόν με στρατιώτην ἔνθα Φίλητον
σωθέντα ἐκ καμάτων ἥδε κόνις κατέχει.

In dextra lapidis parte:

Ἡ δὲ Ἀλκίμιλλα μελλόνυμφος δυστυχής.

Litterae magnificae I vel II saeculi.

---

365. Cotiaei. C. I. Add. III 3827 hh.

Τύμβον σοι ποίησα, Πα[πείριε], Γορ[γ]ὰς ἄτεκνος
μήτηρ πρωτογόνῳ ἕτερον παῖδ' οὐκ[έτ'] ἔχουσα,
πρῶτος γάρ με ἐκάλε(σ)σας ἀμήτορα μητέρα, τλῆμον,
κ(αὶ) πᾶσά[ν σ']ἐδίδαξα διδασκαλίην, ταχύμοιρε,
ἀντὶ γάμ[ω]ν δὲ ἔστρωσα τάφοις, χήρα δ' ἀπελίφθην
ἀνδρός τ' ἠδ[ὲ] τέκνου, οὐδὲ[ν] πλέον ἢ δάκρ[υ'] οὖσα.

Litterae III fere saeculi. — 1 ΓΟΡΙΙΑϹ corr. Franz, qui et filii nomen supplevit. — 2 οὐκ lapidarius invito poeta. — 4 fuerit σε ἐδίδ. — 5 ΓΑΜΗΝ — 6 οὐδέ legebatur et est in lapide, corr. Wilamowitz. — ΔΑΚ ΡΟΥϹΑ.

---

366. Cotiaei. Perrot p. 118 n. 79. Mordtmanni apographum Ioannis filii beneficio debeo.

Τ]ὸν κλυτὸν ἐν ζωοῖσι τὸν ἔξοχον ἐν μερόπε(σ)σι,
τὸν πρώτιστον βουλῆς [ἠ]δὲ πόληος ὅλης,
τὸν πτωχοὺς φιλέ[ονθ' εἵ]νεκεν εὐσεβίης,
Εὐστοχίου φίλον υἷα, [τ]ὸν ἀθάνατοι φιλέεσκον·
τοὔνεκα καὶ π[ηγαῖς] λοῦσα[ν] ἐν ἀθανάτοις

καὶ μακάρων νῆσ[ους] βάλλον [ἐς] ἀθανάτων
Δόμνον ζήσαντα [πέντ'] ἐτέων δεκάδας.

Infimae aetatis. Apographo neutro omnino fidendum, omnia tamen usque ad v. 4 plana et aperta. — 5 ΛΟΥϹΑΜΕΝ λοῦσαν ἐν sat confidenter, πηγαῖς dubitanter scripsi. — 6 ineunte versu ΒΑΛΟΝΑΘ Mordtm. ΒΑΛΛΟ ΝΤΑΘ Perr., unde nescio νήσοις ἔμβαλον fuerit an id quod posui. — 7 ΑΝΤΑ | ΕΕΤΕΙΩΝ Perr. ΑΝΤΑ | ϹΕΤΕΩΝ Mordtm., ut tamen post ΤΑ sive extremo sive ineunte versu possit aliquid intercidisse. τρεῖς suppl. Mordtm. filius; at trigenario non bene conveniunt laudes v. 1 nec senatus principatus. Fortasse ipsum illud Ε quod ante ἐτέων traditur numeri quinarii nota est.

---

367. Cotiaei. Ex Lebasio C. I. Add. III 3857 m et melius Perrot p. 125 n. 88.

Ἀένεον τόδε σῆμα πατὴρ εἵδρυσε θυγατρί,
    ἀθανάτην μνήμην, μνημόσυνον δάκρυον·
μήτηρ δ' ἡ βαρυπενθὰς ἐπὶ τέκνου ταχυμοίρου
    ἐμαυτὴν ζῶσα συνκατέθηκα τάφῳ,
    ἀλ]κ[υ]ονὶς [γ]ο[ε]ρ[οῖ]ς δάκρυσι μυρομένα.
χαίροις, αἰσθλὲ ὁδεῖτα· σοφῷ νοῒ μάννε τειμὰν
Πλούτωνος βασιλῆος ἐπιχθονίων ἀνθρώπων,
    ᾧ χωρὶς μακάρων πάντες ὀφειλόμεθα·
ἔστι γὰρ καὶ ἐν φθιμένοις Νέμεσις μέγα, ἔστι ἐπὶ τύμβοις
    [μὴ . . . . .]τύμβον, ἀλλ' ἀναγνοὺς πάριθι.
        Τειμέας κ(αὶ) Νάνα γονεῖς.

III fere saeculi. — 2 δακρύων coni. Waddington. — 5 ΕΙΝΕΚΟΝΙϹΤΟ ΡΓΗϹ Lebas et Perrot; lapidarii errorem correxi ex aliis titulis *Comment. Bonnens.* p. 26. Aliunde petitum esse versum probat dorica forma μυρομένα. — 6 σοφῶν οἱ μάννε vulgo; correxit Heimsoeth. Plutonis honor is est, qui Plutoni debetur. — 9 μετα Perrot. — 10 Perrot nil nisi.... ἀναγνοὺς πάριθι. Lebas Χ........ ΙΙΙΞΤΥΜΒΟΝΑΛΛΑΕΜΟΥΠΑΡΙΘΙ, unde non certum est, fuerit ἀναγνοὺς an ἀλλ' ἀναγνούς. Initio versus monebatur ne quis violaret sepulcrum.

---

368. Cotiaei. C. I. Add. III 3857 u. Waddington ad Lebas V 779.

Ἐνθάδε γῆ κατέχει Θεοδώραν τὴν περί[βωτον
καὶ κάλλι καὶ μεγέθι καὶ [σω]φροσύνῃ δὲ μάλιστα,

ἢ φά[ο]ς ἠελίου γλυκερώτερον οὐκέτι λάμπε[ι.
ἄνθεα πάντα φύουσιν, κάλλος δὲ τὸ σὸν μεμάρανται,
καὶ γῆ σε κατέχει κα[ὶ] ἀνέκβατος ὅ[ρμ]ος [ἔδη]σεν.
τείμησεν πατρὶς ὅλη τὴν σὴν γνώμην καθορῶντες·
Θεοδώρα, κλάδος ἐλέας, τάχυ πῶς ἐμαράνθης·
κλαύσατε δαίμονα πάντες, Θεοδώρας νεότηταν,
τὴν σώφρονα καὶ εὐγενίδα, ἣ τὴν πατρίδα προ[έλ]ιψεν.

Ὀνήσιμος Φιλέρωτος ἔτι ζῶν σὺν τοῖς παιδίοις μου Φιλίππῳ καὶ Καλλιγενείᾳ καὶ Ὀνησίμῃ σὺν τῷ γαμβρῷ Εὐτυχίῳ μετὰ τοῦ ἐγγόνου Βασιλίου ἐποιήσαμεν μνήμης χάριν.

Aetatis admodum recentis. — 1 et 3 suppl. Franz. — 2 ΕΜΦΡΟ εὐφροσύνῃ Franz. — 3 ΦΑCΙC — 4 τὸ σόν Buecheler, legebatur τόσον. — 5 Ο..ΟC...CΕΝ Ὄρκος ἔδησεν Waddington; ὅρμος vel οἶκος certum est. — 9 ΠΡΟ.ΑΙΨΕΝ.

---

369. Cotiaei. C. I. Add. III 3857 q.

Γράπτη Ἰανουαρίου γυνή, κουριδία [π]ρωτό[μορος.
Κουριδίους θαλάμους Γράπτη λύσασα πρ[ο]λείπω
Ἰανουάριν τὸν [ἐμ]ὸν χρηστότατον γαμέταν·
ὃν σύ, θεὰ Κ[ύ]πρι, μοι φιλέοις σὺν τῷ πατρὶ [κ]αὶ Χαρ[ίτεσσι,
τέκνα δέ μοι καὶ αὐτὸν σώζοιτε, ἱκετεύω.
τούτους γὰρ προλιποῦσα ὑπά[γ]ω πάντων ὑπὲρ αὐτῶν.

1 ΗΡѠΤΟΗΡC recepi Waddingtonis coniecturam, quia id premere voluit poeta, primam omnium et tamquam pro omnibus unam obiisse Grapten. — 3 ΟΛΟΝ corr. Franz. — 4 ΧΑΙΧΑΡ suppl. et corr. Wilamowitz. — 5 σώζοιτε, [θεοί] Franz. — 6 ΥΠΑΙѠ corr. idem.

---

370. Cotiaei. C. I. Add. III 3827 u.

Τὴν τειμητὴν ἀνθρώποις Νάναν ταχέως ἥρπασε μοῖρα·
σωφροσύνῃ ζήσασα ἐν χηροσύνῃ κατέλειψε
σύνευνον χαλεπῷ πένθε[ϊ] τει[ρόμενον.

3 suppl. Franz.

---

371. Cotiaei. Anaglypho mulier (puellula?) stans expressa. Perrot p. 126 n. 89.

Ἄρτι με γενομένην ζωῆς βρέφος ἥρπασε δαίμων·
οὔπω τριέτιν ἤδη ἔτρε[φε]ν ἔν[θ]α Τρύφω[ν] με
μάτρων, ἀ[λλὰ γ]ον[εῖς . . . .] βίον εἶναι.
ἡ δὲ σ[εμνή] με μοῖρα καθήρπασε, καὶ ν[ῦν] ἔδα[φός] με [κ]αλύπ[τ]ει·
ἧς μέμνη[σαι καὶ ζῆσον τ]ὸν πάντα ἀγαθ[ῶ]ς καὶ εὐτυχ[ῶς βίον.

infra:

οὐκ οἶδα ε[ἴ]τε κακῶν α[ἴτ]ιον εἴτε ἀγαθῶν.

Pessimi apographi neque indagare nec corrigere audeo vitia omnia. — 2 ΕΝΟ.Α — 3 ΑΛΔΕΟΝ.. | .. ΝΗΝΗΜΗΘΕΑΜΟΑΒΙΟΝ parentium certe mentio facta erat, qui cum trium vix annorum esset puellula mortui sunt. — 4 ΝΙΙΕΔΑ | .. ΙΜΕΓΑΛΥΠΕΙΤΗCΜΕΜΝΗL. — 5 nec numeros neque ipsa verba restituere volui. — 6 ΑΠΙΟΝ editor hoc versu nomina quaedam legisse sibi videbatur. — Fuit olim epitaphium in puerulum puellulamve scriptum, quod satis integrum traditum habes C. I. 6257 Romae inventum:

Ἄρτι με γενόμενον ζωᾶς βρέφος ἥρπασε δαίμων,
οὐκ οἶδ' εἴτε κακῶν αἴτιον εἴτ' ἀγαθῶν.
ἀπλήρωτ' Ἀίδα, τί με νήπιον ἥρπασες ἐχθρῶς;
τί σπεύδεις; οὐ σοὶ πάντες ὀφειλόμεθα;

cuius sententia haud ita diversa est in epigr. Crinagorae A. P. VII 643, versus secundus proverbii speciem prae se fert, quo utitur Plato *Apol.* p. 37 B ὃ φημι οὐκ εἰδέναι οὔτ' εἰ ἀγαθὸν οὔτ' εἰ κακόν ἐστιν. Quartus denique versus Simonideum refert hemistichium fr. 122 B. θανάτῳ πάντες ὀφειλόμεθα. Huius tituli alterum distichon una vocula mutata epitaphium efficit puellae XI annorum C. I. 6227, ubi prius propterea omissum est, quia provectiori aetati non conveniebat. Disiecta quaedam archetypi membra C. I. 6205 sunt. Cotiaeensi denique epigrammate edocemur, carmen illud etiam ultra fines urbis Romae innotuisse. Hoc denique luce clarius eodem archetypo usum esse poetam anonymum A. P. VII 671 πάντα Χάρων ἄπληστε, τί τὸν νέον ἥρπασας οὕτως Ἄτταλον; οὐ σὸς ἔην, κἂν θάνε γηραλέος;

---

372. In regione Cotiaeensi. Perrot p. 127 n. 91.

a. in antica cippi parte.

Τρόφιμος Εὐτύχους ἔνθ[α] πρὸς πατέραν αἴλυθον.

Τὸν σο[φί]ης ἐμὲ διδάσκαλο[ν γ]ενόμ[εν]ον ἔνθα
λά[χ]ε τέ[λος] θανάτοιο, καὶ Πλουτέος οἰκία νήω,

ὃς πάντων νεκύων ψυχὰς παρεδέξατο χήρων·
οὐδ' ἄν τις θά[νατ]ον λισσόμενος ἐπὶ κόσ[μο]ν πάλιν ἔλθῃ
οὐδ' ἔ[ν]θεν. . ΙΙΝΩCIC οὐδ' αἰελίου [προ]κύψ[ο]ντο[ς] ἰδέσθη,
οὐκ ἄστρων δρόμος ἐστίν, οὐρανόθεν δὲ σελήνης
φ]έγγος οὐκ ἰσορᾶτῃ, ἡ σκοτόε(σ)σα δὲ νύξ·
ἀλλὰ παύσα(σ)θε δακρύων, κὲ Ἀίδῃ μὴ ποιε[ῖ]τε θρήνους
παιδέ [γ]ε ψυχὰς δακρύοις μ[αρ]α[ίν]ε[τε, φίλ]οι,
ὧν τα[ὐτὸν] τέλος ἐστὶν ΚΛΑΠΕ|ΛΛΕΗΕΓ///ΤΙΗΘ . . .|. . ΝΤΩΝ
ΤΗ . \C . . . . | ΑCΚΔ ΔΕΚΑΤΩΛVΙ
αἴλυθον ἰς Ἀίδα δόμου τὸν ἀφεγγέα χῶρον·
τὸν [τῆς] σοφίης ἐμὲ διδάσκαλον, ὅς π[ο]τ' ἐκλήθην,
ἀλ[λ]' ἀγόμην Δόμν[α]ς γονήν, ἢ θάνε[ν] ἐν [ἔ]τει ἑ[βδομηκοστῷ,
μνῆ]μα δ[ὲ] μοι τεῦξαν Ἀμμία θυγάτηρ, θρεπτὸς δὲ Τελέσ-
λιπόμην κουριδίην [φ]ορος·

b. in sinistra.

Αὐρ. Τατία[ν] λιπόμην ἐμὴν σύνβιον ἐμῖο,
ἢ θάνε αὐτῷ λυκάβαντι ἑβδομαικονταέτης,
ἀλ[λ'] ἐμὴ στοργὴ ἔνθα πρὸς Πλουτέος ἤλυθε δῶμ[α·
Κυριακὸν γὰρ ἐ[γ]ὼ λιπόμην ἐφ' ἐλπίσι ταύτης,
Νόννης γαμετῆς συνζευχθῆναι θαλάμῳ·
γαμβρὸς γὰρ οὗτος Κί[μ]ωνος κἀμοὶ συνίδρυσε τύνβον·
ἀλ[λ]' ἐμοὶ [μ]νήμης χάριν βωμὸν ἵδρυσα[ν] ἔνθα,
δόξαν θ[α]ν[ά]το[υ], μνημόσυνον δὲ [βί]ου·
χαίροις, ἠσθ[λὲ παροδεῖτα.

c. in dextra.

Ἀμμία, θυγάτηρ πινυτή, πῶς θάνες ἤδη;
τί σπεύδουσα θάνες ἢ τίς (σ)ε κιχήσατο μοιρῶν;
πρίν σε νυνφικὸν ἰς (σ)τέφανον κοσμήσαμεν[ὲ]ν θαλάμοισιν,
πάτρην σε λιπῖν πενθαλέους δὲ τοκῆας·
καὶ θρήνη]σε πατὴρ κ(αὶ) πᾶσα πατ[ρὶς] κ(αὶ) πότνια μήτηρ
τὴ[ν] σ[ὴν] ἀωροτ[ά]τ[η]ν κ(αὶ) ἀθαλάμευ[τον] ἡλικίην.
τῆς δ' ἀναφθεν[ξ]αμ[έ]νη ψυχὴ Ἀμμίας θανούσ[ης
δάκρυα θερμὰ χέουσα παρίσ[τ]ατο πατρὶ αἰδὲ τεκούσῃ,
ἣ]ν οἶστρος θανάτοιο λάβεν· [ἐ]ννῆμαρ δὲ θανοῦσα
δεξ[α]μένη καθ' ὕπνους π[ύστ]ιν θανάτοιο.
μὴ κλῆε, π[άτερ π]ολυώδυνε, μηδὲ σύ, μ[ῆτερ·
κοινὸ]ν τέλος ἐστὶν τὸ π[επρω]μένον ΔΩΡΑΝ

ΥΝΛ . . ΙΗϹΤΕΛΕΤΑϹ
ΑΛΕΓΙΝΩΝ Κ ΠΕΝ
ΟΙΟ . ΛΛ . Ϲ

IV fere saeculi. — Ad corrigendum male factum apographum in prioribus duobus titulis aliquid subsidii inde repetitur, quod singuli versus foliolis inter se dirempti sunt. Notabilis vero praeter numerorum licentiam etiam sermonis barbaries, ut interdum qualem sibi orationis imaginem informaverit scriptor difficile pernoscas. Editor ipse, nisi quod χήρων v. 4 χαίρων esse intellexit, omnia emendanda reliquit aliis, quorum partem tantummodo ego suscepi. — 2 ϹΟΗΗϹ ϕ litterae haec forma est +. — ΕΝΟΜΟΝ — 3 ΛΑΚΕ — ΝΗΩΝ ν litteram et hic et v. 6 ΙΔΕϹΘΗΝ delevit Wilamowitz. — 5 ΕΛΙϹϹΟΜΕΝΟϹ — 6 ΟΥΔΕΘΕΝ | sequebatur fortasse ἠοῦς φηνούσης. — ΚΥΨϹΝΤΟϹ πρυκυφέντος non est probabile. — 9 ΠΟ | ΙΕΤΕ — 10 ΠΕ quod potest etiam τις esse; nam incerta sunt quae secuntur, ubi lapis Μ . . | ΑΡΚΕΗ////ΝΟΙ — 11 cf. v. 38. — 12 δεκάτῳ λυ[κάβαντι] in promptu est et vero aetas indicari videtur. — 14 ΤΟΝΙΙ omisso articulo v. 2. — 15 ΑΛ — proxima valde incerta ΗΘΑΝΕΠΕΝΤΕΙΕ ΚΑϹΤ — 16 ΔΙ — 18 continuatur extrema prioris partis sententia iterato verbo λιπόμην. — ΤΑΤΙΑ — 20 ΑΛΕΜΗϹΤΟΡΓΗϹ — ΔΟΜ fortasse δόμον scripserat pro δῶμα. — 21 ΕΙΩ γάρ particula et hic et v. 23 inepta. Sententia: *Cyriacum reliqui filium Nonnam Cimonis filiam uxorem ducturum.* — 23 ΚΙΝΩΝΟϹ antiqua historiis celebrata nomina non rara in huius aetatis titulis. — 24 ΗΝΗ — ϹΑΜ — 25 ΘΝΗΤΟ | quod fortasse recte mutavi. — 26 ΗϹΘΛ post haec nihil iam se legere potuisse adfirmat editor; nec fuerunt opinor plura. — Sequitur Ammiae filiae epitaphium. — 28 τί σπεύδεις saepius Pluto increpatur. — 29 ΜΕΝΗΝ — 31 . . ΗΙϹΕ — 32 ΑΩΡΟΤΗΤΑΝ quem accusativum barbarum non obstabo si quis defendere voluerit; recepi tamen Wilamowitzii emendationem. — 33 sqq. cf. tit. Thyatir. supra n. 320. Rem sic intellego: *filia peregre mortua in somniis matrem revisit; matrem invadit terror, nam quamquam nonus dies est ex quo obiit filia, tunc demum et quidem in somniis cognovit mater.* Anacoluthon orationem integram reliqui. — 36 ΠΙ | ΙΙΝ — 38 κοινόν suppl. Wilam. — ΤΟΠΟΝΟ | ΜΕΝΟΝ.

hd. p. xii

---

373. Prope Aezanos. Ex Lebasio C. I. Add. III 3847 l.

Ἀλέξανδρος Ἰάννᾳ τῷ ἰδίῳ υἱῷ μνήμης ἕνεκεν.
Οὐ τὸ θαν[εῖ]ν [ἀ]λγεινόν, [ἐπεὶ] τό [γ]ε πᾶσι πέπρωται,
ἀλλὰ [πρὶν ἡλι]κίης καὶ γονέων πρότερον.
οὐ γάμον, οὐχ ὑμέναιον ἰδών, οὐ νύμφια λέ[κ]τρα

κεῖμαι ἔ[ρ]ω[ς] πολλῶν, ἐ[σσό]μενος πλεόνων.

Litterae vulgares, ut possit I vel II saeculi esse. — 1 sq. notissimum distichon. — 4 E°Ω≍ corr. Lebas. *ἐσσόμενος* Wilamowitz. Sententiae acumen manifestum.

---

374. Aezanis. C. I. Add. III 3846 m.

Ἀπελλᾶ ἥρως χρησ[τὲ χαῖρε.
Ἀπελλᾶς καὶ Δόμνα Ἀπελλᾷ υἱῶι καὶ οἱ πάτρωες αὐτοῦ
Τρόφιμος καὶ Ἀγαθίων ἥρωι·
Μήτηρ υἱέι Δόμνα πατήρ τ' ἔστησεν Ἀπελλᾶς
τόνδε πρὸ ἡλικίης βωμὸν ἀποφθιμένῳ·
οὐ γάμον, οὐχ ὅσα τερπνὰ παρ' ἀνθρώποισιν ἰδόντι,.
εἰκοσέτῃ δὲ φάους ἐκτελέσαντι δρόμον.
πατρὶ καὶ ὠκυμόρῳ ταὐτὸν πέλεν οὔνομα παιδί,
λυπρὰ δυσ[τήνοις μοῖρα μί' ἀμφοτέροις·

I vel II saeculi sunt litterae elegantes; inelegantis vero poetae est adiectum versibus 1-4 extremum distichon, ex quo nihil novi discas cuiusque sententiam, si recte adsecutus est Wilamowitz, non nimis concinnam esse fatearis.

---

375. Aezanis. C. I. Add. III 3846 z[30].

Μ[η]νογένης ὅ[δ' ἐγώ·] τέχνην δ' ἵπποι[σιν] ὀχεῖσθαι
εὖ εἰ[δὼς] ἔθανον λοιμοῦ [νε]φ[έλῃ] καταλη[φ]θείς.

Litterae vulgares. — 1 OM.. et 2 EIM.. corr. Franz. — 2 ΛΟΙΜΟΥΙ | Φ^I^N correxi ex Luciani *Alex.* c. 36 *ἕνα δή τινα χρησμὸν αὐτόφωνον καὶ αὐτὸν ἐς ἅπαντα τὰ ἔθνη ἐν τῷ λοιμῷ διεπέμψατο· ἦν δὲ τὸ ἔπος ἕν· 'Φοῖβος ἀκερσεκόμης λοιμοῦ νεφέλην ἀπερύκει.' καὶ τοῦτο ἦν ἰδεῖν τὸ ἔπος πανταχοῦ ἐπὶ τῶν πυλῶν γεγραμμένον, ὡς τοῦ λοιμοῦ ἀλεξιφάρμακον,* unde non dubito quin vox vulgaris fuerit *λοιμοῦ νεφέλη* apud Asianos. Probabile autem est Menogenem eodem pestilentiae tempore occidisse, quo Alexander illis locis suas exercebat fraudes.

---

376. Aezanis. C. I. Add. III 3846 z[60].

Πατρὸς ἐπ' εὐσεβ[ίᾳ] με κενὸς τάφος ὧδε κατέσχεν,
ἀλ]λ' οὐκ ἐν γαίᾳ τῇδε θανὼν ἐτάφην·

Ζμυρναία δὲ κόνις με καλύψατο, γηραλέης δὲ
ἐλπίδος οὐκ ἦλθον πρὸς πολιὸν πλόκ[αμον
. . . .
μοῖρα κακὸν γονέων χηροσύνης δάκρυον.
Νεωτέρου Ἀνικήτου ἐπιτάφιος.
ὅστις νεκρὰν πρόςοψιν ἀφανίσει τέκνου,
οὕτως ἀώροις περιπέσοιτο συμφοραῖς.

Litterae vulgares II fere saeculi. — Titulus duabus columnis decurrit, quarum sinistra vv. 1 - 4, dextra reliqua continet; media interposita fuit νεκρὰ πρόςοψις τέκνου v. 8. — Post v. 4 lacunam indicavit Wilamowitz. — 9 vetusta haec locutio Antiph. *tetral.* II β 12 καὶ παῖδα ἀώροις συμφοραῖς περιβάλητε. E re fore existimo, quae similia habentur in titulis Phrygiis sub unum ponere conspectum.

a. Aezanis. C. I. 3843.

Οὐλπία Ἄπ[φ]η Εὐαρέτῳ θυγατρὶ μνείας χάριν.
τίς ἂν δὲ χεῖρα προςαγάγῃ βαρύφθονον,
ταῖς αὐταῖς περιπέσοιτο συμφοραῖς.

1 ΑΠΗ Franz Ἀφφη.

b. Cotiaei. C. I. Add. III 3827 v.

τίς ἂν προςάξει χεῖρα τὴν βαρύφθονον,
πολλαῖς ἀώροις περιπέσοιτο συμφοραῖς.

c. Cotiaei. C. I. Add. III 3827 dd.

τίς] ἂν προςοίσει χεῖρα τὴν βαρύφθονον,
οὕτω[ς ἀώ]ροις περιπέσοιτο συμφο[ραῖς.

d. Ariae. Lebas V 784.

ὃς ἂν προςοίσει χεῖρα τὴν βαρύφθονον,
Ἑκάτης μελαίνης περιπέσοιτο δαίμοσιν.

2 cf. Keil *Philol.* V 647.

e. Eumeniae. C. I. 3893 coll. Add. III p. 1104.

Ἑρμῆς Ἀκμονεὺς καὶ Εὐμενεὺς τῷ υἱῷ μου Εὐκάρπῳ καὶ ἑαυτῷ καὶ τῇ γυναικὶ Ἀφροδεισίῃ.

ἐμοῦ θανόντος καὶ γυναικὸς καὶ τέκνων
ὃς ἂν ἀνύξει τύμβον ἢ βλάψει τάφον,
πο[λλ]ῶν ἀώρων περιπέσοιτο συνφοραῖς.
ὃς δὲ ἐπιχειρ[ήσει], ἐςοίσει τῷ φίσκῳ (δην.) ,βφ.'

3 ΠΟΜΩΝ corr. Buecheler. πολλαῖς ἀώροις tamquam de lapide dedit Bailie.

---

377. Aezanis. Perrot *Revue archéol.* 1876 p. 279.

Τερσεὺς καὶ Πυλάδης Πυλάδῃ πατρὶ τύμβον ἔτευξαν
καὶ Ἀμίῃ ζώσῃ μητέρι μειλιχίῃ.

Nomen filii Περσεύς corrigi posse vidit editor.

---

378. Aezanis. C. I. Add. III 3846 z [59].

Κυρίλλῃ τόδ[ε] π[αῖ]δες [ἀμύμο]νι σ[ῆ]μα τε[κού]σῃ
τεῦξαν ἀπο[ι]χομένῃ σωφροσύνης ἕνεκεν.

Litterae vulgares, nisi quod recentior est forma ε. — Supplevit Franz, σᾶμα tamen v. 1 non ferendum putavi. — Ab sinistra alterum fuit epigramma, cuius ultimum hemistichion superest ἦλυ[θεν εἰς] Ἀίδην.

---

379. Aezanis. C. I. Add. III 3847 i.

Βάσκανος ἢ φθόνος ἦρε καλὸν Εὐκλάδιον νέον.
οἴμοι, κλαίει σε τεκοῦσα, ἐπεὶ πολὺ φίλτατος ἦσο
καὶ λύπας μεγάλας κατελίμπανες τοῖσιν ἀδελφοῖς·
καὶ θρηνεῖ σε γυνὴ καὶ παῖδες δακρυχέουσιν
μυρόμενοι περὶ σοῦ,
βωμὸν στήσαντε[ς] τὰ προγράμματα ταῦτ' ἐπ[ι]θέντες
λαινέῳ τύμβῳ μνήμης χάριν.

vv. 1 et 2 nec supplementis nec coniecturis temptandi sunt.

---

380. Aezanis. C. I. Add. III 3846 z [61] ex Lebasio, plenius Waddington ad Lebas. V 966.

Μεῖνόν μοι [παράγων], μ[εῖ]νον, ξένε, μή με παρέλθῃς·
Ἀντωνεῖνος ἐγώ· κεῖμαι δ' ὑπὸ τύμβον ἄνανδρος,

ὃν κόσμησε τ[ύποι]σιν Ἔρως [θρ]επ[τὸς . . . .
— — — — — — — — — — — — —
. . . . . . Ζεύς με νέον Φρύγιον Γα[ν]υ[μ]ήδ[η]ν
ἠφάνισε]ν [σ]ὺν [ἐ]μῷ Καρπίωνι νέῳ [συ]νομαίμῳ.
ἔτ(ος) σοη. i. e. a. 278 epochae Sullanae
sive p. Chr. n. a. 193.

1 ΜΟΙΙ . ΛΙΛΙΙ . Μ . . corr. Wadd. —. 3 pro τύποισιν quodvis pone aliud. — Ο . ΕΙΕ . . . dein post notulam, quae versus exitum indicat:

ΘΑΛΛΕ . . . . ΕΝΔΕΛΘ
. . ΜΟΙΟΙϹΛΙΙΑΛΛΑΣΣΦ
ΗΝΚΑΤΕΧΕΙΛΕ . . ΙΝΟΥ . ΟΝΙΙΟ
ΕΥΣ κτλ'.

5 ΛΥΝΗΔΙΝ correxi. — 6 ΝΝΕΥΝ.

---

381. Aezanis. C. I. Add. III 3846 i.

Ἀ[μμ]ίῃ ζώσῃ.
Ἄμμιον Δημητρίου δὶς δύ' ἐτῶν ἐνθάδε κεῖμαι,
ἁρπα[χ]θεῖ[σ' Ἀίδεω] βασκανίοις·
Ἀμμία τε ἄλγος ἔχει Δημήτριός τε γονεῖς,
ὡς ὁ πατὴρ ἀντὶ γάμου λίθον ἔστησεν τάφῳ.

Praescriptum ΑΝΙΛΙΗΙ, mulieri igitur vivae monumentum fecerat Demetrius, quo prima Ammion filiola condita est. Franz Δημήτριος Ἀμμί]ᾳ [γυναικ]ὶ ζώσῃ. — 2 ΑΡΠΑΘΕΙΟΜΑΙ corr. Buecheler. — 3 pentameter. — 4 senarius.

---

382. Ancyrae. C. I. Add. III 4079 b. Mordtmanni utor meliore apographo.

Γαῖα μὲν ἥδε δέμας κεύθει κλεινοῖο [nomen defuncti,
βωμὸς δ' ἀργύφεος λείψανα φωτὸς ἔχει.

Litterae vulgares I fere saeculi. — 1 Texier, qui primus edidit, Μενάνδρου supplevit, nomen illic terrarum haud rarum.

---

383. Prope Ancyram. Lebas *Rev. de la philol.* I 333.

a. Μάρκος τ' ἀδελφὸς καὶ Τρόφιμος σὸς εὐνέτης

σοὶ τόνδε τύμβον, ὦ καλὴ Κορινθία,
λάινον ἔτευξαν ὠ[κυ]μόρῳ μνήμης [χάρ]ιν·

b. *Μόνους ἰδοῦ[σαν] εἴκοσι ἐνια[υτῶν] κύκλους*
Ἅιδης κέ[κευ]θε τὴν κα[λὴν] Κορινθ[ίαν.

II saec. — Suppl. Lebas.

---

384. Sub Dindymo monte. Sperling Cpoli misit Kirchhoffio, qui edidit *Act. acad. Berol. min.* 1863 p. 519.

Ἤλυθον ἐκ Κ[ρ]ήτης· [Κ]ίσαμος πόλις ἐ[σ]τὶ πατρίς μο[ι,
οὔνο[μ]α [Κ]α[λλ]ισ[τ]ώ· λέκ[τ]ροις [ἐ]δόθην δὲ πρὸς οἴκους
ἀν[δ]ρὸς Ἐ[πι]κτή[τ]ου, ᾧ καὶ τέκνα δισσὰ λιπο[ῦ]σα
βουλομένων Μοιρῶν [ἤ]λυθον ἰς Ἀίδην·
σωφροσύνης δ' ἀρετὴν ο[ἶδε]ν ἐ[μ]ὸς γα[μ]έτης,
ὃς καὶ [τ]ύ[μ]βον ἐμοὶ μνήμης χάριν εἵδρυσεν ἔνθα.

Pessimum apographum optime emendavit editor. — 1 ΚΗΤΗΣ — ΕΤΗ — 2 ΚΑΜΙΣΙΩΛΕΚΡΟΙΣ | ΝΔΟ — 3 ΑΝΙΡΟΣ non praestat *ἀνέρος Εὐκτήτου.* — ΛΙΠΟΛΙΣΑ — 4 ΗΛΥΘΟΜΕΝ — 5 ΕΙΩΟΣ — 6 ΓΥΣΒΟΝ. — Ad v. 5 cf. epigr. atticum supra n. 78 *τοὺς δὲ τρόπους καὶ σωφροσύνην, ἣν εἴχομεν ἡμεῖς, ἡμέτερος πόσις οἶδεν ἄριστ' εἰπεῖν περὶ τούτων.*

---

385. Laodiceae. C. I. 3943.

a. *Δοκτικίου μορφῆς [μὲ]ν ἔχω τύπον, εἰκόνα δ' αὐτ[οῦ*
θεσπεσίης ἀρετῆς φορέει στόμα φωτὸς ἑκάστου.

b. *α. Τίς τόδε καλὸν ἄγαλμα; τίνος χάριν; ἢ τίνι φωτῶν;*
β. ἡ πόλις ἀντ' ἀγαθῶν Δοκτικίῳ μεγάλω[ν.

Litterae vulgares traduntur, et recte fortasse; nam eius aetatis est titulus, qua eruditiores ad veteres litterarum formas reversi ipsi sibi veteres videbantur fieri. — Duo seiunxi epigrammata. — 1 ΗΣΝ et ΑΥΤΕ corr. Franz, nisi rectius *αὐτῆς* scribas; idem v. 4 *μεγάλων* supplevit. — Ad v. 1 sq. cf. C. I. 5408 *λαινέην μὲν ἀνέστησανθ' οἱ ἄριστοι - εἰκόνα, τῆς σοφίης δὲ καὶ ἐν στήθεσσιν ἔχουσιν.* — 3 *τίς* scil. *ἀνέστησεν.*

---

386. Apameae Ciboti. C. I. 3962 coll. Add. III p. 1107.

Ἀπφία ἐγὼ κεῖμαι Μενεκλεῖ μίγα τῷδε σὺν ἀνδρί,
καὶ γὰρ ζῶντες ὁμοῦ τοῦτο γέρας λάχομεν·

καὶ λίπομεν δύο τέκνα, νέον δέ γε Ἀρτεμίδωρον,
ὃς χάριν εὐσεβίης τεῦξεν τύμβον φθιμένοισιν.
χαίρ[ετε] δ' οἱ παριόντες καὶ εὐχὰς θέσθ' ὑπὲρ αὐτοῦ.

II fere saeculi. — 3 Νέων[α κ]ὲ 'Α. coni. Wilamowitz. At unus nomine adpellatur, quia unus fecit monumentum altero fortasse peregre profecto. *νέον δέ γ' ἔ[τ']* non ausus sum scribere propter v. 5 etiam magis vitiosum. — 5 ΧΑΙΡΠΔΟΙ corr. Franz.

---

387. Apameae. Ex Hamiltonis apographo C. I. 3964 et melius Hirschfeld *Act. acad. Berolin.* 1875 p. 25.

Τὸ ζῆν ὁ ζήσας καὶ θανὼν ζῇ [ζῶ]ν φίλοις·
ὁ κτώμενος δὲ πολλὰ μὴ τρυφῶν [σ]ὺν τοῖς φίλοις
οὗτος τέ[θ]νηκε περιπατῶν καὶ ζῇ νεκρ[οῦ βίον.
ἐγὼ δὲ ἐτρύφησα Μηνογένης ὁ κὲ [Ε]ὐσταθής,
μετέδωκ[α] ἐμαυτοῦ πάντα τῇ ψυχῇ καλά,
ἄμαχος ἐβίωσα με[τὰ φί]λων κὲ συνγενῶν,
μηδέποθ' ὑπούλως [ἢ] δολίως λαλῶν τινι.
οὗτος ὁ βίος μοι γέγονεν, ὅταν ἔζων ἐγώ,
ἐς πάντα δ' ηὐτύχησα ἐμαυτὸν πιστεύσας θεῷ,
τὸ δ' ὀ[φ]ει[λ]όμενον ἀπέδωκα τῇ φύσει τέλος.

Ῥοῦφος ἐπ[ύησ]α Μηνογενεῖ μου γλυκυτάτῳ πατρί
κὲ Παυλείν[ῃ μητρὶ τῇ] φιλάνδρῳ μέχρι τέλους.

III fere saeculi. — 1 ΤΟΝ correxi. — 3 ΝΕΚΡ///L \ verum cum lateat, posui quod apte coniecit Wilamowitz. — 4 ΗΥϹ Hamilt. ⌒ΥϹ Hirschfeld, cuius ex apographo versum restitui. — 6 ΡΕ///\Λ⌒Ν Hirschf. ΜΕ . . . ΛΩΝ Ham. supplevit Franz. — 10 suppl. idem. — 11 ΕΠ\ΙΑ Hirschf. correxi. — 12 . . . ΝΦΙΛ Hirschf. supplevi.

---

388. Ad Apameam. Hirschfeld *Act. acad. Berolin.* 1875 p. 25.

Βαιὸν μεῖνον, ξεῖνε, καὶ ὕστερον ἔνθα πορεύσῃ,
μὴ προλιπὼν στήλλην, ἀλλὰ μαθὼν [τ]ί λέγει.
Νάρκισσος νεώτερος ἐνθάδε κεῖμαι,
ὃν [ἐ]τ[ε]ξε Ζωτικὴ Παρθε[νί]ῳ κ[τ]έανον φιλίης.
λεῖψα δὲ τέκνα καὶ σύνβιον· τοῦ[το ποιήσας,
τοῦτο μόνον λύπης εἰς Ἀίδην ἔμολον.

4 ΣΤΡ// | ΞΕ aliud non video. — ΩΚΕΑΝΟΝ facile Τ littera describentem de oceano cogitantem fugere poterat; cogita *pignus amoris*. — 5 post ΤΟΥ totus versus 12 fere litterarum erasus est nescio casu an consilio. — *ποιήσας* suppl. Wilamowitz latinorum titulorum memor.

---

389. Ad Hierapolin. Perrot *Revue archéol.* 1876 p. 278.

— — — — — — —

εἰδείῳ ἀνδρὶ θηροτρόφῳ μν[εί]ας χάριν ἤδ' ἀ[έ]θηκεν.
χῖρε λέγι παροδῖτες.

Vxoris virique nomina superne perierunt. Defunctus bestiarum custos videtur fuisse quae venationibus circensibus destinatae erant.

---

390. Traianopoli. C. I. Add. III 3865 p.

Φί]λιππ[ος καὶ Στ]ρόγγυλος Ζεύξιδι ἀδελφῶι καὶ Νείκῃι μη[τρὶ καὶ Φι]λίππῳ πα[τρ]ὶ γλυκυτάτοις μνήμης χάριν.
Πᾶσι φίλος γενόμην καὶ τι[μήθη]ν [ὑπὸ πάντων.

Litterae recentiorem produnt aetatem, antiquiorem tamen iota duobus dativis adscriptum. — Ab initio fortasse gentile romanum adiciendum. — *καὶ τιμὴν πάντες ἔνειμαν* Franz. Videntur haec verba eius esse, qui supremus sepulcro conditus est, Philippi patris.

---

391. Traianopoli. C. I. 3865 coll. Add. III p. 1095. Duo sunt fragmenta.

a. *Οὐδε]ὶς ο[ἰ]ω[νός, ο]ὔ[τ]ις οἰων[ο]σκόπο[ς*

— — — — — — — — — —

b. *Μάρκον Πολείτον φιλοσόφον, πάντων φίλον.*

Inter litteras ceteroqui vulgares notabilis forma Ω. — 1. ΥΤΙΣ restitutio tam certa mihi videbatur, ut vocabuli *οἰωνός* antepaenultimam corripere non dubitarem. Franz *ὁ τύμβος οὗτός ἐστιν οἰωνοσκόπου Μάρκου κτλ'.* At et plus tribuendum puto Lebasii apographo nec convenit huic aetati Polites auspex. Sententiam talem fingo *nullum auspicium neque ullus unquam auspex certior fuit quam Polites philosophus*, idque pluribus videtur expositum fuisse.

---

392. Prope Eumeniam. Litteris minusculis editum C. I. 3894.

Οὔνομα Ζωτικός εἰμι, πατὴρ Κόσμος, πατρὶς ἤδ[ε.

1 ηδη.

---

393. In Phrygiae vico Vezir-Keupru. Perrot p. 292 n. 141.

— — — — — — — — — — — —
εὐσταθέα π . . . . , πᾶσιν δ' ἰσότιμον,
ὀρθοτάτου παντὸς προεστῶσαν βιότου·
ἧ τύμβον καὶ στήλην ἀνὴρ μνήμαισιν ἀρίσταις
Μαρτιάλης στῆσεν κήρυγμα τῆς φιλ[ί]ης.
ὃς δ' ἂν μετὰ τὸν Μαρτιάλιον ἕτερον σῶ[μα ἐπιθήσει κτλ'.

Litterae vulgares. — Ante v. 1 superlativus superest -τάτην. — 1 fortasse Εὐσταθέαν, dein π[ᾶσι φίλην] spatium expleret. — 4 ΦΙΛΗΣ.

---

394. Apud Amasiam Ponti. C. I. 4174.

Σήματα [συ]νθρανσθέντα παλαιγενέων ἡρώω[ν
ἐν μακροῖσι χρόνοις Λούκιος ἡρμόσατο·
τοιγὰρ ὅσ[οι τ]ειμᾶτε τάφους νεκύων, παροδεῖτ[αι,
Λούκιον [ε]ὐ[φ]ήμως τείετ' ἀμειβόμενοι.

II fere saeculi. — 1 Τ.Ν hoc ut reliqua suppl. Franz.

---

395. Amasiae. Perrot p. 377 n. 161 ex apographo hominis imperiti.

a. Πέτ[ρ]ην [τή]νδ' ἐκόλ[α]ψε χάριν μνήμης ἔτι ζωός
Ῥοῦφος, ἐὼν προπάτωρ τῆς [ἰδ]ίης γενεῆς.

b. Ἐν νομικῇ προὔχοντα Κλεόμβροτον ἥρπασε μοῖρα,
πρῶτα συνε[ζ]όμενον βήματι Βιθυνικῷ·
ὀστέα δ' εἰς πάτρην ὁ πατὴρ . . . . Ῥοῦφος
καὶ κατέθηκε . . . ἔνθαπ[ερ ο]ἱ πρόγονοι.

c. Ἡρώῳ δ' ἐνὶ τῷδε καὶ ἄλλοι φίλτατοι κεῖνται,
τιμ[ή]εις Χρόνιος υἱός τε Πολυχρόνιος.

Litterae vulgares. — Tria distinxi epigrammata, quorum primum cum conderetur monumentum inscriptum est, alterum post mortem Cleombroti filii, tertium denique, ut vitia metrica ostendunt, multo posterius ab homine inculto. — 1 ΠΕΤΗΝΙΝΔΕΚΟΛΨΕ corr. Perrot. — 2 ΜΙΕΣ — 4 ΣΥΝΕΤΟΜΕΝΟΝ fuit igitur assessor tribunalis Bithynici et ipsis honorum

initiis mortuus est. — 5 ΠΑΤΗΡΟ ... ΑΤΟ ὠπάσσατο Perrot, at diffido traditis; aptum erit ἠνείκατο. — 6 ΘΗΚΕΝΑΟΕΝΘΑΠΙΠΡΟ ἔνθα περ οἱ πρόγονοι Perrot. Antea nihil invenio praeter κατέθηκε τάφῳ. — 8 ΤΙΜΕΕΙΣ quod non nomen est, sed epitheton. Πολυχρόνιος nomen C. I. 3565.

396. Amasiae. C. I. 4170 ex schedis Bubesquianis.

Ἰου(λίᾳ) Μυσίδι Δημοκράτης ἀλόχῳ περικαλλέα τεῦξεν
τόνδε τάφον μνήμης σωφροσύνης [θ'] ἕνεκεν.
ἔτους ρ̅ο̅η̅ i. e. a. 178 epochae Amasianae
vel a. p. Chr. n. 184.

1 gentile extra numeros positum putandum est. — 2 θ' inserui; sunt enim litterae rotundae.

397. Gazelone. C. I. 4180.

— — — — — — — — — — — — — —
μαρτύριον ὀρθοῦ βίου, ᾧ συνέζησεν σεμνῶς συνέκαμέν τε συνετέκνωσέ [τε.
καὶ νῦν ὅτ' ἔδει χάριτας [γ]ε λαβεῖν καμάτων τε καὶ τέκνων,
λίπε μ' ἐν καμάτοισι μόνον καὶ νήπια τέκνα·
ἧς οὔποτε λήσομ' ἐγὼ κείνης καλ[ῶν] ἔργων,
ἵ[τ]αλαν ἐν φ[θι]μένοισι γε[γὼ]ς φιλότητ[ι] μιγείην.

Litterae vulgares. — 1 extr. explevit duarum litterarum lacunam Welcker *Mus. Rhen.* III 249 n. 24, qui reliqua quoque restituit, nisi quod v. 2 ΤΕ correxit Buecheler. — 2 poterat καμάτων τε τέκνων τε, at nihil frequentius quam καί et τε particulas inter se commutari. — 5 ΦΟΜΕΝ — γεγώς incertum esse recte ait Wilamowitz.

398. Inter Amasiam et Ancyram. Ex schedis Bubesquianis Dornsuamianis Belsianis C. I. 4116.

Οὔνομά σοι Καπίτω[ν . . . .
οὐδ' ἔπετε παρέχων τὰς [β]ιότου χάριτας.
Φένιπ(π)ος καὶ Καπίτω[ν] κὲ Μάρκελλος
πε͂δες ὀ[ρ]φανοὶ ὀδυρόμενοι
γλυκυτάτ[ῳ πατρὶ] μνήμης χάριν.

1 sq. sic scripti:

	ΟΥΝΟ	
ΜΑCΟΙ	ΚΑΠΙΤ	ωΑΙC
ΘЄΟC Є	ΝЄΡΓΟΥ	ΔЄΠЄΠЄ
ΤЄΠΑΡЄ κτλ'.		

neque omnino ambigua videtur lectio, nisi quod Belsus ΘЄΟCΚ 'habet. Vera non sunt, quae Franz posuit οὔ τοι θεός ἐστι συνεργός, spatia enim litteris vacua manibus sublatis, ut saepius, expleta sunt. Lusum iuesse puto nomenque Capitonem ab deo Capitolino derivatum; pentametrum enim certa ratione Heusinger restituit: *deus quamquam ipse nomen tibi dedit, tamen nomen omine non ratum fecit.* — 4 ΟΙΦ corrupit ille probum hemistichion παῖδες ὀδυρόμενοι.

---

399. Ancyrae. C. I. 4065.

Τάφον τὸν ἔνθα πλησίον βωμόν θ' ἅμα
ἔτευξε κατὰ γῆς Κλαυδία ἡ καὶ Δεχάς
Ἀθηνίωνι γλυκυτάτῳ καὶ φιλτάτῳ,
ἁγνῷ γενομένῳ συμβίῳ μνήμης χάριν.

Litterae vulgares. — 2 traditur etiam ΔΕΞΑΣ, quod non magis intellego quam illud. An Δεκάς?

---

400. In coemeterio aliquo christianorum Galatiae (Ancyrae opinor, in cuius urbis coemeteriis multi tituli reperti sunt) inventum titulum mihi benigne conmisit Ioannes Mordtmann.

Ἡ [τ]ι[μ]ὴ Γαλατῶν . . . .
τ]ιμήεις μακάρεσ(σ)ι Λεόντιος [ἠδὲ βροτοῖσιν
ἔρνεσιν εὐπετάλοις χῶρον [ἔχει σκιερόν.

1 ΗΓΙΠΗΓΑΛΑΤWΝLΙ — 2 CΙΜ.

---

401. In oppido Kaimaz, quod suspicor haud procul ab Ancyra situm esse. Dedit mihi Ioannes Mordtmann.

μνήμης χά[ριν
ΣΑΚΑ
Ἀμφότεροι Χα[ρίτων τε καὶ nomen fratris] ἐνθάδε κεῖνται,
ἀλλὰ κ]ακῶς προ[φυγ]όντε βίον ζῶσαν κρίσιν [ἔσχον.

Incertum incipiat titulus a verbis μνήμης χάριν necne; deinde nomen fuisse videtur eius qui posuit. — 2 ΥΑΚωCΠΡΟΘΠΟΝΤЄ dubitanter

correxi. Anth. app. 313 ἀλλὰ καὶ εὐσεβίης ἔσχεν κρίσιν ἐν φθιμένοισιν. — Ceterum potest christianus titulus esse.

---

402. Sebastopoli Galatiae. Ex Damonis Graeci apographo (in *Actis societ. philol. Cpolit.* vol. VII) ed. Roehl *Sched. epigr.* Berol. 1876 p. 19 n. 7.

Γαῖά με τίκ[τ]εν ἄφωνο[ν] ἐν οὔρεσιν παρθέν[ο]ν ἁγνήν,
ἡσύχιον τὸ [π]άροιθεν, νῦν αὐ[δήεσ]σαν ἅπασιν.
σμιλιγλύφοις τέχν[η]σιν κῆρ' εἰποῦσα θανόντος·
ἐνθάδε Μάξιμον γρ[α]μματικῆς ἐπίσιορα τέχ[νη]ς,
ἀνέρα σεμνὸν γ[ῆ μ]ήτηρ ἐκάλυψε θανόντ[α

. . . .

Correxit et supplevit Roehl. — 1 ΤΙΚΕΝ ipsam στήλην loqui vidit Kirchhoff. — 2 ΑΥΛΕΟ | ϹΑΝ — 3 ΤΕΧΝΕϹΙΝ — 4 ΓΡΜ — ΤΕΧΑ | ΜϹ — 5 ΓΙ | ΗΤΗΡ. — Post θανόντα continuo haec ΓΝѠΝΤΟϹΔΗΤΕΡΜΑΒΙΟ///, ut recte editor unum versiculum (14-18 litterarum) describentis errore intercidisse statuerit. Ipse dedit . . . . γνόντος δὴ τέρμα βίοιο.

---

403. Sebastopoli. Ex Damonis apographo (v. tit. anteced.) Roehl *Sched. epigr.* p. 19 sq.

Ὄλβ]ιος ὃν μοῖραι παναεικέες ἐ[κπερόωντα
νη]δύος ἀθρήσωσι γαληναίῃσι[ν ὀπωπαῖς·
ὣς] καὶ ἐγὼ Πά[ν]ταρχος ἀγανοτ[άτων ἀπὸ πατρῶν
βλα]στήσας κῦδος μὲν ἐνὶ στρατ[ῷ ἄσπετον εἷλον·
σῶ]μ' ἀποδυσάμενος δ' ἔλαχον [περικαλλέα τύμβον
ἀγ]χινόοις πραπίδεσσι φιλοστό[ργοιο γυναικός·
ἥ] μοι καὶ παῖδας θυμηδέας, οὓς [τέκεν αὐτή,
σκ]ύμνους αὐχήεντος ὅπως σ[υνέθρεψε λέοντος,
καί] με θεο[ῖσ]ιν ἔθηκεν ὁμοίιον ἀ[θανάτοισιν.
ἀτρ]εκέως Πάνταρχος ἐγὼ νῦν [μ' αὐτὸς ἔθηκα
ζηλ]ωτ[ὸ]ν παίδε(σ)σιν ἐμοῖς. οὓς δ[ῖα γυναικῶν
τίκ]τε καὶ ἠέξησεν ἐνὶ μεγάροις [πολυόλβοις,
Πα]ντάρχ[ω]ν χαρίεντα καὶ ἱμερό[εντα γένεθλα.
τὸ]ν μὲν γὰρ στρατιῆς [ἐ]ναρίθμιο[ν ἡρώεσσιν
τῇ σφ]ετέρῃ τιμῇ περιλαμπέα, τὸν [δὲ ποθεινῆς
θρε]ψαμένη πάτρης τηλέκλυτο[ν ἐλπίδ' ἔθηκεν·

νόσ]φι δ' ἐμοὶ θεμένη σ[ῆ]μα κλυτὸ[ν οἵῳ ἀπ' ἄλλων
θε]σπεσίης ἀρετῆς πάσης κλέο[ς εὐρὺ ἀνῆκεν,
τιμ]ῆεις ὡς ἔσχον ἐν ἀνδράσι κα[ὶ μακάριστος,
μακ]ροῖς αἰώνεσσιν, ἕως μένει [οὐρανὸς εὐρύς,
λ]άμπει δ' ἥλιος φαέθων τροχ[οειδέι φέγγει.

Videtur IV vel V adeo saeculi, quo tempore tales hymni deis hominibusque iuxta canebantur. — Singula multa recte supplevit Roehl, inde tamen a v. 10 in falsam interpretationis viam deripi se passus. — 1-4 suppl. Roehl, nisi quod ἐκπεράοντα v. 1 et ὥς v. 3 scripsit. Initio videtur Horatii memor fuisse poeta *quem tu Melpomene semel nascentem placido lumine videris*. — 3 ΠΑΤΑΡΧΟϹ nescio cur et hic et v. 10 et v. 13 πάνταρχος munus esse editori videatur. Ποντάρχης nomen C. I. 4183 coll. Roehl p. 19 n. 6. — 5 ΧΟΝΓ — 6 ἀγχινόοις R., qui pro γυναικός scripsit δάμαρτος. — 7 ἤ et 8 σκύμνους R. — 9 ΘΕΟΗΙΝ corr. et suppl. R. — 10 ἀτρεκέως R. — 11 ωΤΕΝ — δῖα γυναικῶν R. — 12 τίκτε R. — 13 ΝΤΑΡΧΟΙΝ corr. et suppl. R. — 14 ϹΤΡΑΤΙΗϹΙΝΑΡΙΘΜΙΟ cf. tit. Syrium supra n. 272,18 ἐναρίθμιον ἡρωείναις. — 15 ΕΤΕΡΗ recepi Roehlii supplementum, quamquam prima Ε littera ex Ο potius corrupta videtur, ut comparativus fuerit velut κυδροτέρη. — 17 ϹΜΑ σῶμα Roehl. cf. tit. Palaestin. infra n. 444 τόνδε τύμβον - ἔδειμεν - ἐνεύδειν οἷος ἀπ' ἄλλων, quae est clausula homerica. — 19 ΙΗΕΙϹ — 20 sq. suppl. R. — Eiusdem sepulcri supersunt aliarum duarum inscriptionum fragmenta apud Roehl. p. 20, quae etsi componi inter se posse videantur tamen nimis mutila sunt quam ut vel sententia restituatur.

---

404. In Montalub Galatiae vico. Ex schedis Bubesquianis et Belsianis C. I. 4137.

Ἄν]δ[ρα] πολύκλαυτον κοινὸς [μὲν] ἀνείλατο δαίμων,
καλλείψαντ' ἄλοχον Δημήτρειαν πολύδακρυν·
τοῦ δὲ καταφθιμένου σκοῖνος μέλεος χάδε τύνβος,
τὸν νῦν δὴ κόσμησε περίφρων Σταρτόνεικος,
γνωτῶν εἷς, Ἀ[φ]είο[υ] σ[ὺ]ν ἀδελφ[ῷ] ἀδελφιδέῳ τε.
αἰδοῖαι δ' ἀγαπηταὶ ἀνε[ι]άζουσι φίλον κῆρ
θυγατέρες κάσιος τε μόρον πατρός τ[ε . . . .

Iniuria mutilum esse ab initio putaverunt. Hermann *Opusc.* VI 300. 313. v. 1 τόν supplevit et v. 3 τοὺ[ς] δὲ καταφθιμένους κοινός κτλ'. At de unius morte agitur et τοῦ habent schedae Bubesq. σκοῖνος pronuntiandi errore pro σκῆνος scriptum. — 4 sq. varia temptaverunt neque mihi

certa praesto est emendatio. Sumpsi Stratonicum, qui Σταρτόνεικος scribitur (sic. Bels. ΣΤΑΡΑΤΟΝ Bub.), unum ex propinquis cum defuncti fratre fratrisque filio tumulum exornasse, et addidi mortui nomen. — 5 ΓΝΩΤΩΝΕΙϹΑΘΕΟΙϹΙΝ Bels. ΘΕΙΟΙϹΙΝ Bub. Ἄφη nomen C I. 4143. 4145. Αφφία 4141. Hermann γνωτῶν εἵσαθ' ἑῷ σὺν κτλ'. Welcker *Syll.* p. 129 τιμῶν ἶσα θεοῖσιν ἀδελφόν cetera nihil curans. — ΑΔΕΛΦΟΥ — 6 ΑΝΕΑΖ — 7 ΚΑΙΙΟϹ Bub. — Filiae patris, frater eiusque filius et Stratonicus κάσιος i. e. propinqui mortem lugent. — Extrema sic traduntur ΤΙΚΙΛΛΑ ΦΙΛΟ, nisi quod Belsus ΙΙΚΙ habet. Ego non expedio, sed videtur praepositio ἀμφί inesse, qua opus est ut μόρον habeat quo referatur.

---

405. In Bozyuk Galatiae vico. Eisdem ex schedis partemque ex Dornsuamianis C. I. 4132.

Πατρίδος οἰκο[νόμον, χερὶ καὶ βουλ]αῖσι κραταιόν,
Γ]άιον Ἀνδρομένους ἐν[θά]δ' ἔχω φθίμενον·
ὧι τόδε σῆμα πόνησεν ἀδελφεὸς ἠδὲ καὶ αὐτῷ
ζώων, Εὐφρόνιος κ(αὶ) Ἰουλία ἄλοχ[ος,
κ(αὶ) παῖδες φθιμένο[ιο] περικ[λείτ]ου [Γ]αίο[ι]ο
Εὐφρ[όνι]ος Εὐκτήμων θ'[ε]ἵνεκεν εὐ[σεβίης·
Κυίντα τε τῶν γ[ε]νέτειρα, φίλ[ου] μεμνημένη ἀνδρός
ἡμετέρην οὐδ' ὅσσον ὑπο(δ)δείσας ἐπαρωγήν;
οὐ τάδε πιστὰ θεοῖς σέο δήνεα· ποῖ Φαέθοντος
εὐσταθὲς ἅρμα φορεῖτο; τί σοῦ πυρὸς ἀκ[α]μάτοιο
φλὸξ ἄχρι καὶ θρόνον ἦλθεν ἐμὸν καὶ ἐπ' εὐρέα κόσμον;
μίγνυτο καὶ κύκλοισιν ὑπερμενὲς ἄχθος ἀπ' εἴλης·
Ὠκεανὸς χέρας αὐτὸς ἐς οὐρανὸν ἠέρταζε,
τίς ποταμῶν οὐ πᾶσαν ἀνεξηραίνετο πηγήν;
καὶ σπόρος ἐς Δήμητρα καταίθετο, καί τις ἄπλατον
ἀζαλέην ἔκλαυσε παρὰ δρεπάναισι γεωργός,
σπείρων εἰς ἀχάριστα μάτην θ' ὑπὸ κυφὸν ἄροτρον
ταῦρον ὑποζεύξας ὑπό τ' ἀστέρα βουλυτοῖο

κάμψας ἄρρενα γυῖα σὺν ἀχθεινοῖσι βόεσσι·
γαῖα δ' ὑπέστενε πᾶσα κακόφρονος εἵνεκα κούρου.
καὶ τότ' ἐγὼ πυρὶ φέγγος ἀπέσβεσα· μηκέτι παιδός
μύρεο λυγρὸν ὄλεθρον, ἑοῦ δ' ἔχε φροντίδα κόσμου,
μή ποτε χειρὸς ἐμῆς φλογερώτερον ἔγχος ἀθροίσῃς.
γίνωσκ' οὐρανίοιο Διὸς νόον· οὐ μὰ γὰρ αὐτήν
Ῥείην ἄλλο τ[ι τ]οῦδε κακώτερον ἴδεν Ὄλυμπος·
κόσμος ἐμὸς σὴ πίστις ἔφυ μεγακύδεος ἔργου.
οἰχέσθω τὰ πάροιθε, τὰ δ' ὕστερα φροντίδι κεῦθε·
οὐ σὸς ἔφυ· πώλων γὰρ ἀπείριτον [ο]ὐ σθένος ἔγνω,
ῥυτήρων οὐδ' ἔσχε πολυφραδὲς ἔργον ἀνύσσαι.
ἔρχεο νῦν, πάλι κόσμον ἐποίχεο, μὴ τεὸν εὖχος
ἀλλοτρίαις παλάμαισι πόρῃς ἀμένηνα πονήσας·
μούνῳ σοὶ πυρόεντος ἐπειγομένῳ κύκλοιο
ἀντολίη καὶ πᾶσα καλὸς δρόμος ἔπλετο δυσμή·
σοὶ τόδε πιστὸν ἔδωκε φέρειν νόος, ἄφθιτον εὖχος.
φείδεο γῆς καὶ παντὸς ἀριπρεπέος κόσμοιο,
ἴσχε δρόμον μεσάταισιν ἐπ' ἀψίδεσσιν Ὀλύμπου·
ταῦτα πρέποντα θεοῖς, ταῦτ' ἄρκια· μαίεο, δαῖμον,
μιλίχιον πάλι φέγγος· ὁ σὸς πάις ὤλεσε πουλύ·
καὶ τὸν ἀπειρέσιον μέγαν οὐρανὸν αὐτὸς [ὅ]δευε,
ἥμισυ μὲν γαίης νέρθεν, τὸ δ' ὕπερθε τανύσσας·
οὕτω γὰρ πρέψειε τεὸν φάος Οὐρανίδαισι,
καὶ φωτῶν ἀκάκωτος ἀεὶ λειφθήσεται εὐχή,
πρηνμενῇ δ' ἕξεις Ζηνὸς νόον· ἢν δ' ἑτέρη τις
λείπηται σέο φροντὶς ἀταρβ[έ]ος, ἵστορες αὐτοί
ἀστέρες ὡς πυ[ρό]εντος ἐμοῦ μ[έ]νος αἶψα κεραυνο[ῦ]
ὠκύτερον πώλων . . . . . δέμας . . . .

Ἐπιγράμματα.

a. *Μοῦνος ἀπ' αἰῶνος δύο καὶ δέκα παῖς ἐνιαυτῶν*
Μάξιμος ἐξ ἀέθλων εἰς Ἀίδην ἔμολον·
νοῦσος καὶ κάματός με διώλεσαν· οὔτε γὰρ ἠοῦς,
οὐκ ὄρφνης μουσέων ἐκτὸς ἔθηκα φρένα.
λίσσομαι, ἀλλὰ στῆθι δεδουπότος εἵνεκα κούρου,
οφρα μάθῃς σχεδίου γράμματος εὐεπίην,
εὐφήμου καὶ λέξον ἀπὸ στόματος τόδε μοῦνον
δακρύσας· 'εἴῃς χῶρον ἐς ἠλύσιον·

ζωούσας ἔλιπες γὰρ ἀηδόνας, ἃς Ἀιδωνεύς
οὐδέποθ᾽ αἱρήσει τῇ φθονερῇ παλάμῃ.

b. *Βαιὸν μὲν τόδε σῆμα, τὸ δὲ κλέος οὐρανὸν ἵκει,*
Μάξιμε, Πειερίδων ἐξέο λειπομένων·
νώνυμον οὐδέ σε μοῖρα κατέκτανε νηλεόθυμος,
ἀλλ᾽ ἔλιπεν λήθης ἄμμορον εὐεπίην.
οὔτις ἀδακρύτοισι τεὸν παρὰ τύμβον ἀμείβων
ὀφθαλμοῖς σχεδίου δέρξεται εὐστιχίην·
ἄρκιον ἐς δόλιχον τόδε σοι κλέος· οὐ γὰρ ἀπευθής
κείσεαι οὐτιδανοῖς ἰδόμενος νέκυσι·
πουλὺ δὲ καὶ χρυσοῖο καὶ ἠλέκτροιο φαεινοῦ
ἔ(σ)σετ᾽ ἀεὶ κρέσσων ἣν ἔλιπες σελίδα.

Annus est p. Chr. n. 94, coll. Censorin. *de die nat.* c. 18 *rursus tamen annus magnus per Capitolinos agonas coeptus est diligentius servari, quorum agonum primus a Domitiano institutus fuit duodecimo eius et Ser. Cornelii Dolabellae consulatu* (a. 86); quod certamen cum teste Suetonio (*Dom.* c. 4) quinquennale esset, tertium lustrum (v. tit. lat.) a. 94 conditum est. In hoc certamine inter quinquaginta duos poetas graecos Sulpicius undenarius puer suos versus, qui supra scripti sunt, recitavit; non primas eum tulisse rectissime Henzen (p. 104) ex verbis *cum honore discessit* conclusit; immo *ob teneram aetatem* iudicum favorem excitaverat, patris, hominis liberti, admirationem quod excitavit ingenio suo, nihil mirum: nos scire iuvat non omnes tunc graecas Musas tam misere balbutiisse. — Versus ex tempore dicti (*καίριον* i. e. *τὸ ἐκ καιροῦ λεγόμενον*) infimae notae sunt quod nescio an nemo melius persenserit quam qui interpungendi munus susceperit. Idem argumentum haud sane suave Lucianum tractavisse (*deor. dial.* XXV) adnotavit Visconti, tractavitque ut par est paullo melius. Quaedam tamen res apud utrumque ita concinunt, ut cum Lucianum a puero didicisse ridiculum sit creditu, vulgare hoc et in rhetorum scholis decantatum argumentum fuisse pateat; cf. Luc. 1 *μειρακίῳ ἀνοήτῳ πιστεύσας τὸ ἅρμα* coll. Sulpic. v. 3 sq., Luc. *ibid.* *καὶ ὅλως οὐδέν, ὅτι οὐ ξυνετάραξε καὶ ξυνέχεε· καὶ εἰ μὴ ἐγώ, ξυνεὶς τὸ γιγνόμενον, κατέβαλον αὐτὸν τῷ κεραυνῷ οὐδὲ λείψανον ἀνθρώπων ἐπέμεινεν ἄν* coll. Sulp. v. 11 et 18; denique Luc. 3 *ἐς δὲ τὸ λοιπόν, ἤν τι ὅμοιον παρανομήσῃς . . . αὐτίκα εἴσῃ ὁπόσον τοῦ σοῦ πυρὸς ὁ κεραυνὸς πυρωδέστερος* coll. Sulp. v. 40 sqq. Ovidium, quem nec Sulpicius neglexit, saepius sequitur Lucianus. — Numeri admodum celeres; nullius versus plus duo spondei sunt, qui ter in secundo quartoque (v. 2. 5. 11), bis in secundo tertioque, semel in primo quartoque, semel denique in primo secundoque pede inveniuntur; spondeis carent omnino

quindecim versus, v. 34 praeterea in anaphora σπονδειάζει. Bucolicae caesurae duodetriginta sunt exempla, quorum novem post sententiam gravius incisam, duo ante spondiacum exitum. — 3 θῆκες retinui incertus lapidario an puero tribuam plebeiam formam. — 4 legebatur ἐγγυαλίξας. — 7 ΑΚΜΑΤΟΙΟ Visconti spreta coniectura ἀκμαίοιο recte scripsit ἀκαμάτοιο, et sic Orph. fr. 6, 13 ed. Herm. Ζεὺς ἀκαμάτου πυρὸς ἀκμή. — 9 ἀπειλῆς legebatur; corr. Sauppe *Goett. gel. Anz.* 1871 p. 1036; idem κύκλους recte intellegit *corpora caelestia.* — 10 fortasse ex Ovidii *Met.* II 270. — 12 ἐς Δήμητρα i. e. *in terra*, cf. Ovid. II 212 *pabula canescunt*, *cum frondibus uritur arbor - materiamque suo praebet seges arida damno.* — ἄμαλλαν coni. Sauppe pro ἄπλατον. At *agricola* ἄπλατον ἔκλαυσε *quod terrae arefactae frustra semina mandasset*; cf. v. 14. — 13 sqq. sunt fere Telluris querellae Ovid. II 285 sqq. *hosne mihi fructus*, *hunc fertilitatis honorem - officiique refers*, *quod adunci vulnera aratri - rastrorumque fero* e. q. s. — 17 cf. Pseudosim. 146 B. μέγα δ' ἔστενεν Ἀσὶς ὑπ' αὐτῶν κτλ'. — 18 καίτοι Sauppe. — 19 ΕΟΥ legi; reliqui ΣΟΥ, unde σοῦ Henzen, σύ Visconti. — 20 vereor ne ἀθρήσῃς voluerit Sulpicius *ne meum telum* (*i. e. fulmen*) *ardentius esse cognoscas*, coll. v. 42 et Luc. 3, quem locum supra adtuli. — 22 ΑΛΛΟΤΡΙΟΥΔΕ corr. Visconti. — 23 *mundus meus tuae fidei concreditus est*, *praeclara hercle res.* — 24 confundit duo diversa ἐν φρεσὶ κεύθειν et ἐν φροντίδι ἔχειν τι. — 25 ΕΥ corr. Visc. — 30 καλὸς δρόμος parenthetice dictum. — 33 *medius tutissimus ibis* Ovid. II 137. — 36 ΕΔΕΥΕ corr. Visc. — 37 Ovid. II 135. — 38 πρέψει ἐτεὸν φάος Henzen; sed omissum ἄν neminem offendet; τε τεόν Sauppe. Ovid. II 134 *utque ferant aequos et caelum et terra calores.* — 39 sententia inscite expressa: *et hominum preces usque eae erunt*, *ut non de damnis eis querendum sit.* — 40 *sin vero iterum poenae non metuens curam tuam negleges*, *fulmen meum te equis citius in Tartarum deturbabit.* Haec sententia videtur esse; ipsa verba vix restitui poterunt. Vv. 41 - 43 in volumine scripti sunt, quod puer manu tenet, idque litteris multo minoribus valdeque conrosis. Legi v. 43 ΠΩ | ΛΩΝ ΣΩΚΟΣΑΣ | ΜΑΣΑΩΛΕΣΝ//, ubi tamen quas punctis notavi incertiores sunt litterae; pro σῶκος potest fuisse σέ, θεός, δέμας. Non recte Sauppe πώλων σε τεόν τε δαμάσσεται ἅρμα.

Epigrammata eadem numerorum, elegantiore dicendi arte scripta sunt. — 4 expectares οὔτ' ὄρφνης. — 5 male post λίτομαι plene distinxerunt, ἀλλά postponi notum est. — 7 εὐφήμ[ει] Visconti, nec melius Henzen εὐφήμου ad γράμματος voc. refert. — 9 Callim. ep. 2 Schn. αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες, ᾗσιν ὁ πάντων ἁρπακτὴρ Ἀΐδης οὐκ ἐπὶ χεῖρα βαλεῖ. — 12 *laus carminum quae reliquisti inmortalis erit.* Recte sic Visconti explicat quamvis obloquente Henzenio.

619. Romae. C. I. 6226.

D(is) M(anibus).

a. Χρηστὸς τέθαπτ' Εὔβουλος ἐνθάδε ξένος,
ἑταῖρος ἀγαθός, χρυσοχόος Κορίνθιος.

b. Εὔβουλος μὲν ἔγωγε, πατρὶς δέ μοί ἐστι Κόρινθος,
καὶ προχοαῖς χαίρω ταῖς ἀπ' [ἐ]μῶν ἑτάρων.

T. Flavius Priscus et Capito fecerunt.

II fere saeculi.

---

620. Romae in herma. C. I. 6233.

Θ(εοῖς) κ(αταχθονίοις).

Πατρὶς ἐμοὶ Ζήνωνι μακαρτάτη ἔστ' Ἀφροδισιάς·
πολλὰ δὲ ἄστεα πισ[τὸς] ἐμαῖσι τέχναισι διελθὼν
καὶ τεύξας Ζήνωνι νέῳ προτεθνηκότι παιδὶ
τύμβον καὶ στήλην καὶ εἰκόνας αὐτὸς ἔγλυψα,
ταῖσιν ἐμαῖς παλάμαισι τεχνασσάμενος κλυτὸν ἔργον.
ἔ]νθα φίλῃ ἀλόχῳ Κλυ[μέ]νῃ καὶ παιδὶ φίλοισ[ιν
τ]εῦξα τάφον· ζήσας [δὲ ἔ]τῶν κ[ῖ]μαι ἑπτάκι δέκα.
ἐνθάδε [νῦν κε]ίμεσθα ἄ[λαλ]οι, [ψυχὰς ὀ]λέσαντες,
κ[αὶ παῖς ἠδ'] ἄλοχος καὶ ἐ[γὼ τρίτος αὐ]τὸς ὑπάρ[χων.

III fere saeculi. — 2 ΠΙϹ . . . suppl. Visconti. — 7 ΚΥΜΑΙ — 8 ΜΕϹ ΘΑΛΜΑΟΙ Franz ἐνθάδε νῦν κείμεσθ' ἅμα οἱ ψυχὰς ὀλέσαντες καὶ Κλυμένη ἄλοχος e. q. s. In his quae ferri nequeunt mutavi. ἄλαλοι i. e. *sine lingua sineque spiritu.*

---

621. Marmor Farnesianum. C. I. 6207.

Ἑστὼς διστάζεις, [τίς] ὕπεστιν τῷδ' ὑπὸ τύμβῳ·
ἀνὴρ εὖ ζήσας τρῖς ἐτέων δεκάδας,
τοὔνομ' Ἀπολλοφάνης πίστει μέγας ἠδ' ἔτι δόξῃ,
ὃς προλέγει θνατοῖς εὐφροσύνης μετέχειν.
τὴν δ' ἐπιτυμβίδιον τούτῳ θῆκεν χάριν ὃν τρέφε παῖδα·
τοὔνομα καὶ τέχνην ἦν Διόδωρος ὅδε.

II vel III saeculi. — 6 *nomine et arte dei erat donum*, nam tam perfecta in eo ars erat ut ab ipso deo donata videretur.

---

622. Romae. C. I. 6299.

Τὸν Χαρίτων με [γ]έμοντ' ἐσορᾷς κλεινὸν Χαρίτωνα,
μοῖραν ἀναπλήσαντ' Αὐσονίῃ ἐνὶ γῇ·
τίκτε δὲ Σαρδονίη με [πε]ρίρρυτος, ἐν δ' ἄρα Τάρσῳ
πίστιν ἔχον ταβούλης χρήματος Αὐσονίου.
ἀλλ' ἄρ' ἐσαθρήσας φωτὸς δέκα τρὶς λυκάβαντας
πρὸς πέντε, φθίμενος τήνδ' ἐπίκειμαι κόνιν.

D. M. M. Vlpio Augg. lib. Charitoni Vlpia Charitine fratri dulcissimo, qui vixit annis XXXV, dieb(us) XVIII, et P. Aelius Augg. lib. Africanus cognato e. q. s.

Aetatem produnt subscripta. — 1 ΜΕΤΕΜΟΝΤ legebatur *μετέχοντ'*. Quod scripsi apprime convenit cum Philodemi quem adtulit Welcker (*Syll.* 57) versiculo A. P. V 13 de Charitone anu *καὶ χρὼς ἔτι πειθὼ πᾶσαν, ἔτι στάζει μυριάδας χαρίτων*. — 4 tabularius fuit Tarsensis.

***623.** Neapoli. C. I. 5823.

Σῆμα Φιλείνῳ τοῦτο φίλῳ δεῖμεν θεράποντι
Ἱπποκράτης πάσης εἵνεκεν εὐνοίης.

II vel III saeculi.

---

624. In Capreis insula. C. I. 5872.

Οἳ στύγιον χῶρον ὑποναίετε, δ[αί]μον[ες] ἐσθλοί,
δέξασθ' εἰς Ἀίδην κ(αὶ)μὲ τὸν οἰκτρότατον,
οὐ κρίσει ἐγμοιρῶν ἡρπασμένον, ἀλλὰ βιαίωι
αἰφνιδίωι θανάτωι μήνιος ἐξ ἀδίκου·
ἄρτι μο[ι] ἐν προκοπῆς τάξει παρὰ δεσπότῃ ὄντι,
ἄρτι δὲ καὶ γονέων ἐλπίδ' ἐμὴν στερέσας,
οὐ δέκα [πέ]νθ' ἐτέων οὐδ' εἴκοσι τέρμ' ἐνιαυτῶν
ἐκτελέσας γοερὸς οὐκ ἐσορῶ τὸ φάος.
τοὔνομά μοι Ὕπατος, λίτομαι δὲ Τίτον συνόμαιμον
τούς τε γονεῖς κλαίειν μηκέτι τοὺς τάλανας.

I vel II saeculi. — 1 ΔΙ. | ΜΟΝΕΞΕΘΛΟΙ — 2 ΚΜΕΤΟΝ — 5 ΜΟΥ correxi. *μέν* Iacobs. Casuum confusionem habes sat memorabilem, ex qua cum v. 6 anaphorae vinculo priori arte iunctus sit minime te expedies probata Iacobsii coniectura ἔντα v. 5. — 7 intellege: *neque puer mortuus sum* (nam XV anno toga virilis adsumebatur) *neque ad vicesimum annum provectus.* — 9 ΥΠΑΤΟΣΟΛΙ ubi O foliolum fuerit. — 9 δ' ἔτι τόν legas an δὲ Τίτον optio data est.

---

625. Romae. C. I. 6311.

α. Στήλη μαρμαρέη, τίνος εἶ τάφος; β. ὠκέος ἵππου·
α. τίς δ' ὄνομα; β. Εὐθύδικος. α. τί κλέος; β. ἀθλοφόρος.
α. ποσ(σ)άκις ἐστέφθη δρόμον; β. πολλάκις. α. τίς δ' ἔλαέν μιν;
β. Κοίρανος. α. ὢ τιμῆς κρέσσονος ἡμιθέων.

III vel IV saeculi. — 3 ΕCΤΕΦΘΗCΔΡΟΜΟΝ ἐς (ἐς) δρόμον vix recte conieceris. Ad equum ipsum orationem converti credit Wilamowitz: neque *μιν* offensui esse, quod cuius personae esset pronomen nesciisse lapicidam. — 4 Κοίρανος nomen aurigae.

---

626. Romae. Welcker *Syll.* 102. In C. I. non invenio.

Χρῆμα τὸ πᾶν Θείας, βαιᾶς κυνός, ἠρία κεύθει,
εὐνοίας, στοργῆς, εἴδεος ἀγλαίαν·
κούρη δ' ἁβρὸν ἄθυρμα ποθοῦσ' ἐλεεινὰ δακρύει
τὴν τροφίμην, φιλίας μνῆστιν ἔχουσ' ἀτρεκῆ.

Litterae bonae et perspicuae dicuntur. — 1 legebat Welcker χρῆμα τὸ Πανθείας.

---

627. In agro Florentino. C. I. 6310.

Τὴν τρίβον [ὃς] παράγεις, ἄ[ν π]ως τόδε σῆμα νοήσῃς,
μή, δέομαι, γελάσῃς. εἰ κυνός ἐστι τάφος·
ἐ[κ]λαύσ[θ]ην· χεῖρες δὲ κόνιν συνέ[θ]η[κ]αν [ἄν]ακτος,
ὅς μου καὶ σ[τ]ήλῃ τόν[δε] ἐχάραξε [λ]όγον.

Apographa duo sunt Is. Vossii et Gorii ex cod. Laurentiano plut. XXIX (?) petita. — 1 ΒΟΝΠΑΓΑΓΕΙCΑ | ΑΛΛΗΤωC Gorius, ΑΛΙΙΤΩΣ Voss. — 3 ΕΥΛΑΥCΟΗΝ — ΟΗΥΑΝΑΚΤΟC — 4 CΙΗΛΗΤΟΝΑΕ — ΝΟΓΟΝ. Omnia emendavit Vossius.

---

628. Syracusis. Ex Spuchesii libro *Epigrafi inedite* cet. (Panorm. 1865) ed. Ritschl *Opusc. philol.* I 781.

Ὤλετ[ο πον]τοπόροις θυμὸ[ν τέρ]ψασα δ' ἀηδών,
ἀθαν[άτο]ις κόλπωι Κύπρι[δος αἰ]σομένη.

I vel II saeculi. — Supplevit Spuchesi. — 1 si integrum est epigramma, Δ necessario delendum, si minus, post *ποντοπόροις* interpungendum.

***629.** Romae. C. I. 6198.

Θ(εοῖς) κ(αταχθονίοις).

Μητρὶ φίλῃ Ἀγέλῃ καὶ Λαρέται ἐσθλῆι ἀδελφῆι
Ἰούλιος Ἀντιγένης μνῆμ' ἐπόησε τόδε.

I saeculi.

---

630. Romae. C. I. 6294.

Θ(εοῖς) κ(αταχθονίοις).

Φιλήτωι τόδε σῆμα κατοιχομένωι συνομεύνωι
Ἀβασκαντὶς γαμετὴ μνημοσύνης ἕνεκεν.

I saeculi.

***631.** Romae in porticu S. Laurentii extra urbem. Videtur ineditum.

Δακρυόεις ἀλόχῳ Γλυκέρᾳ τόδε σῆμα προμοίρῳ
τεῦξα Γαλακτεῖνος ἀρτιθαλεῖ φθιμένῃ.

II saeculi.

***632.** Romae in museo Kircheriano. Anaglypho viri protome. Videtur ineditum.

Τραιανοῦ τάφος οὗτος, ὃς εὐσεβὲς εἶχε νόημ[α.

---

633. Prope Tusculum. C. I. 6217.

Βάσσος ἐγὼν ὅδ' ἐκεῖνος, ὃν ἔκτανε Δύσ[φ]ορος ἀνήρ.

ΔΥCCΟΡΟC vel ΔΥCѠΡΟC traditur. Inepte Franz δύσμορος. **Videtur Bassus in arena ab adversario interfectus esse, cuius nomen arti bene convenit** *qui difficile sustinetur.*

---

634. Romae. C. I. 6269.

Παρθενὶς ἐνθάδε κεῖται ἀγήρατος ἀθανάτη τε.

---

635. Romae. C. I. 6215.

Καλλίτεκνον σεμνὴν ὅδε τύμβος ἔχει σε, Ἀφροδείτη.

---

636. Romae. C. I. 6229.

D(is) M(anibus).

Εὕρεσιν ἐνθάδε γῆ κατέχι θανάτοιο λαχοῦσα[ν
μητέρα τὴν εὔτε[κ]νον· εὐδαίμονες παροδῖται.

Titulus latinis litteris sic scriptus:

EVRESINENTHADE
GECATECHITHA
NATOEOLACHVSA
METERATENEVTE
CHNONEVDEMONES
PARHODITAE

Restituit Hermann, sine causa tamen v. 2 μητέρα - Εὐαίμονος, ὦ παροδῖται scribens. Intellege *felix qui vivit.*

---

637. Inter marmora Ariciae Romaeque effossa, post in Maiorcam insulam ab legato Hispano transvecta. Longpérier *Rev. archéol.* 1849 I 40. Welcker *Mus. Rhen.* VII 617 n. 8. Χένου. II, 240

Θ(εοῖς) κ(αταχθονίοις).

Μήτηρ μοι σεμνὴ Διδύμα παρακοιμηθεῖσα·
ἑπτὰ δὲ δίς μ' ἐτέων Δημήτριον αἶα κέκευθεν.

II fere saeculi.

***638.** Puteolis. C. I. Add. III 5854 b.

Θ(εοῖς) κ(αταχθονίοις).

Ἐνταῦθα κῖμαι τῆς Ἀθηναίων χθονός
Ἑρμῆς πολίτης εἴκοσι ζήσας ἔτη·
μνήμ[η]ς δὲ τύμβον τεῦξε Κάλλιστος φίλος.

II fere saeculi. — 2 ΕΡΜΗϹ est in lapide. — 3 Κάλλιστος etiam atticum nomen, cf. Ross *Demen* p. 35.

***639.** Cumis, nunc Neapoli in museo. C. I. 5860 b.

Θ(εοῖς) κ(αταχθονίοις).

Θειναμάξη ἀ|δελφῷ, Ἀθη|νίων . . . .
μνήμης χάριν.
Ἐν]θάδε Κυμαίω[ν] κεῖμαι καλῆς ἐπὶ γαίης,
ἡλικίας τελέσας δὶς δέκα καὶ δύ' ἔτη.

Nomina praescripta sic legi v. 3 ΝΙѠΝΑΝΟΠΤΗ//
ΚЄΔΝΙѠΝΚΑΙΟ///
ΜΝΗΜΗϹΧΑΡΙΝ
ubi v. 1 Mommsen (C. I. Add. III p. 1259) ΑΝΟΝ/,/ Gervasius ΑΝΟΠΤ., eidemque v. 2 ΚΑΙΟΥ legerant. Videant alii.

---

640. Lipara in insula. Apographum a Salina missum *Diar. arch.* 1865 p. 140. Ritschl *Opusc. philol.* I 779. 841.

Θεοῖς καταχθονίοις.

Καππαδόκων ἔθνους πολυανθέας οἴδατε ἀρούρας·
κεῖθεν ἐγὼ φυ[ό]μην ἐκ τοκέων ἀγαθῶν·
ἐξ[ό]τ[ε] τοὺς λιπόμην, δύσιν ἤλυθον ἠδὲ καὶ ἠῶ·
οὔνομά μοι Γλάφυρος καὶ φρενὸς εἴκελον ἦν.
ἑξηκοστὸν ἔτος πανελεύθερον ἐξεβίωσα
καὶ καλὸν τὸ τύχης καὶ πικρὸν οἶδα βίου.

II fere saeculi. — 2 ΦΥѠΜΗΝ — 3 ЄΞЄΤΙ corr. Ritschl. — 4 *nomen cum ingenii indole conveniebat.* — 5 πανελεύθερος Camarda et Ritschl; at qui sexagesimum vitae liberae annum vidit, ne superiora quidem tempora alia condicione transegisse putandus est. — 5 ἐκβιοῦν verbum

Stephani Thesaurus non habet nisi ex Eustathio. — 6 cf. poeta in Crameri *Anecdotis Paris.* IV 322 ἀπῆλθεν εὐθὺς ὁ γλυκὺς Κωνσταντῖνος, ἰδεῖν τὰ πικρὰ μὴ θελήσας τοῦ βίου.

---

641. In vicinia Romae. C. I. Add. III 6250 b.

Εὐτυχεῖτε.
Μάγνης ἐκ Φρυγίης· Σκυθίη δέ με παρθένος ἁ[γν]ὴ
ἔτρεφ' ἐλαιηρῶι Μανθίωι ἐν πεδίωι,
παλίσκιον λιπόντα Μαγνήτων πόλιν.
εὐπλοεῖτε.

I vel II saeculi. — 1 ΑΙΠΗ corr. Franz. — 2 Manthiam planitiem non novimus, sed in Italia sitam fuisse probabile est Scythiae videtur nutricis nomen, defuncti nomen in alia tumuli parte scriptum fuit.

---

642. Romae. C. I. 6283.

. . . . Ῥου[φείνου . . . . . .
Ῥουφείνου τάφος οὗτος, ὃν Ἀστέριόν ποτ' ἔκληζον,
ὃς προλιπὼν Ῥώμης δάπεδον Νείλου πόλιν ἐλθὼν
καὶ προκοπαῖς λάμψας, πολλοῖσ[ι] δὲ πολλὰ παρασχών,
μηδένα λυπήσας, ἀλλ' εἰς τὸ δίκαιον ἀθρήσας
μοιρῶν οὐκ ἔφυγεν τρισσῶν μίτον, ἀλλὰ νεκρωθεὶς
τὴν ψυχὴν ἀπέδωκεν ἐς ἀέρα, σῶμα δὲ πρὸς γῆν.
ἀλλὰ καὶ εὐσεβείης ἔσχεν κρίσιν ἐν φθιμένοισιν,
καὶ πάλιν εἶδε τὸ φῶς νεκρὸς ὢν καὶ πόντον ἔπλευσεν
καὶ χώρης ἰδίης ἐπέβη· σὺν παισὶ δὲ κεῖται,
ὧν οὐκ εἶδε τέλος θανάτου· πρῶτος γὰρ ἔθνησκε.
ἡ δὲ τέκνων δισσῶν μήτηρ σεμνὴ [ἤ]δὲ φίλανδρος
καὶ πέλαγος διέπλε[υ]σε καὶ ἤγαγε σῶμα βυθοῖσιν
καὶ καμάτους ὑπέμεινε καὶ ἐν θρήνοις διέμεινε
καὶ τύμβῳ κατέθηκε καὶ αἰῶσιν παρέδωκε.
Δαμοστρατείας ταῦτα τῆς φιλανδρίας.

III vel IV saeculi. — 1 ΡΟΥ in medio versu positum nescio an error sit lapicidae. — 2 i. e. Nilopolis. — 3 ΠΟΛΛΟΙΣΔΕ — 7 uxor cum mortuum audiisset maritum Roma Nilopolin profecta sepultum erui iussit corpusque in patriam abstulit. Epigramma aliquanto post insculpendum curavit mortuis duobus filiis (v. 9). — 11 ΣΕΜΝΗΔΕ corr. Iacobs. —

15 cf. tit. Philadelphiae supra n. 319 Ξανθίππην Ἀκύλας μνήμῃ βιότου παρέδωκεν.

---

643. Messanae. C. I. 5626.

Αὐρήλιος Εὐτύχης τοῖς κατοιχομένοις μνείας χάριν.
Θ(εοῖς) κ(αταχθονίοις).

Κύζικος ἦν μία πᾶσι πατρὶς καὶ μοῖρα δὲ πάντας
ὤλ[ε]σεν ἠιθέους, ὦ π[α]ροδεῖτα, μία.
. . . .
. . . .
σώματα δ'] αὐτὸς ἔχει[ν ἐ]πόθησεν καὶ [τάδ' ἐπ' αὐτοῖς
τεῦξε λυγροῖς [δακρύ]οις [μνή]ματα μυρόμενο[ς·
οὗ τὸ καλὸν κοσμεῖ περικείμενον οὔνομα τύμβους,
οὗ [γ]λυκύς ἐσθ' ἡμεῖν κἀν φθιμένοισιν ἔρως.

Titulus brevioribus 12 - 18 litterarum versibus perscriptus inde a v. 9 ita habet:

ΡΟΔΕΙΤΑΜΙΑ . . . . . .
ΔΗΜΑϹΑΝЄ . . . . . .
. . Τ . . . .
. . . .
. . . . . . ΑΥΤΟϹЄΧЄΙ
ΠΟΘΗϹЄΝΚΑΙ . . . . .
. . . .
ΤЄΥΞЄΛΥΓΡΟΙϹΜ . .
ΜΑΤΑΜΥΡΟΜЄΝϹ . . .

ubi v. 16 in altero apographo Gualtherus ΛΥΤΡΟΙΟΝ:ΙΟΙϹ. Patet hinc alterum distichon, quo obitus iuvenum Eutychisque auxilium enarrabatur, periisse maleque id simul cum insequenti a Franzio sic refectum esse:

οὐ]δ' ἡμᾶς ἀνε[λὼν τις ἀνήγαγε συνγενέεσσιν
[θάψαι ὀδυρομένοις, ἀλλοτρίας δ' ἐπὶ γῆς]
καὶ νεκύας περ ἀνὴρ ξένος] αὐτὸς ἔχει[ν ἐ]πόθησεν
χ[ἡμῖν] τεῦξε λυγροῖς [μνή]ματα μυρόμεν[ος.

---

644. Romae. C. I. 6281.

Εἰς θρήνους ἐφύλαξας Ἀτίνιαν, ὦ κακὲ δαῖμον,
οὐχ ὁσίως ποινὴν εὐσεβίης κατέ[θ]ου
Ῥουστικὸν ἡγεμονῆα πόσιν καὶ παῖδα τιθηνόν
Πομπήιον μαζῷ θελγόμενον γλυκερῷ,
μητέρα Ταρσογενῆ Πομπηίαν ἠδὲ Πούδεντας
υἱὸν καὶ πάππον· φεῦ θανάτων ἀνίσων·
πάππος μὲν γενεῆς προπάτωρ πέλεν, ἠίθεος δέ
ᾤχετ' ἔχων οὐδὲν πλὴν δάκρυον πρὸ τάφου.

II fere saeculi. — 1 ΑΤΙΝΙΑΝΩΙ — 2 ΚΑΤΕΔΟΥ quod si recte Gudius κατέθου scripsit (i. e. *deposuit sepulcro*) v. 1 et 2 sic interpretor: *luctui servasti Atiniam, maligna Fortuna; deposuisti enim, inmeritum pietatis praemium, Rusticum* e. q. s. Vnde et bene habet asyndeton v. 2 neque ullo modo audiendus Iacobs, qui οὐδ' ὁσίως coniecit. — 5 Ταρσογενῆ traditur, in quo fateor aegre desiderari copulam; tamen inprobanda Scaligeri coniectura τ' Ἀργογενῆ. — Pompeia Pudensque Atiniae parentes, Rusticus maritus, Pompeius et Pudens filii sunt, quorum alter puerulus (v. 3) alter iuvenis obiit (v. 7). Paullo aliter Franz.

---

645. Romae. C. I. 6312.

Λουκίλλῃ τόδε σῆμα κα[σιγνήτῃ . . . .
μητρί τε πρεσβυτάτῃ [. . . . nomen filii *ἔτευξεν*
οἵ τε καὶ οἷσι τέκεσσι κ[αὶ . . . .
φῶτε δύο, [τριτ]άτην οι . . . .
καὶ τὴν μὲν προτέρη[ν . . . .
αὐτοκασιγνήτην, ἑτ[έρην δὲ . . . .

4 ΠΡΙΑΤΗΝ πρώτην Franz. — Videtur ille duas cameras duasve σορούς vel aliam quamlibet rem (quae graece feminini esset generis) duabus fenestris (δύο φῶτε v. 4) vel lucernis exornavisse, tertiam (v. 4) obscuram reliquisse; illarum autem duarum alteram (τὴν μὲν προτέρην v. 5) sorori permisisse, alteram vero (ἑτέρην δέ v. 6) matri sibive ipsi destinavisse.

***646.** Romae. C. I. 6298.

D. M. Cerelliae Fortunatae coniugi carissimae, cum qua v(ixi) ann(is) XI s(ine) u(lla) q(uerella).

M. Antonius Encolpus fecit sibi et Antonio Athenaeo liberto suo karissimo et libertis libertabusque eorum et posteris, excepto M. Antonio Athenione e. q. s.

a. Μή μου παρέλθῃς τὸ ἐπίγραμμα, ὁδοιπόρε,
ἀλλὰ σταθεὶς ἄκουε καὶ μαθὼν ἄπι·
οὐκ ἔστι ἐν Ἅιδου πλοῖον, οὐ πορθμεὺς Χάρων,
οὐκ Αἴακος κλειδοῦχος, οὐχὶ Κέρβερος κύων·
ἡμεῖς δὲ πάντες οἱ κάτω τεθνηκότες
ὀστέα, τέφρα γεγόναμεν, ἄλλο δὲ οὐδὲ ἕν.
εἴρηκα σοι ὀρθῶς· ὕπαγε, ὁδοιπόρε,
μὴ καὶ τεθνακὼς ἀδ[ό]λεσχός σοι φανῶ.

b. Μὴ μύρα, μὴ στεφάνους στήλλῃ χαρίσῃ, λίθος ἐστίν·
μηδὲ τὸ πῦρ φλέξεις· ἰς κενὸν ἡ δαπάνη·
ζῶντί μοι, εἴ τι ἔχεις, μεταδός, τέφραν δὲ μεθύσκων
πηλὸν ποιήσεις καὶ οὐκ ὁ θανὼν πίεται.
τοῦτο ἔσομαι γὰρ ἐγώ· σὺ δὲ τούτοις γῆν ἐπιχώσας
εἰπέ, ὅτ[ι] οὐκ [ὢν] ἦν τοῦτο πάλιν γέγονα.

Litterarum forma ΕϹΩ cum ante saeculum III vel IV in titulis Romanis non reperiantur, cave Encolpum Fortunatam Apellen personas Petronianas cum Niebuhrio esse credas. — 4 κύων interpolavit poetula. — 8 ΑΔΕΛ ΕϹΧΟϹ — vv. 9 - 12 paucis mutatis leguntur A. P. XI 8. — 14 ΕΙΠΕ . ΟΤΕ . ΟΥΚΗΝΤΟΥΤΟ recepi Meinekii emendationem (*Callimach.* p. 298), prae qua ceterae omnes sordent. Defunctus cuius nomen nescimus libertus fuit ideoque *terrae progenies*.

***647.** Romae. C I. 6203.

a. Στέμματ', ἀφ' ὧν πτοίη καὶ πρήξιες αἱ κενεαυχεῖς,
ἄλλων σήματ' ἔχοιτε, δικασπολίας τ' ἐνέποιτε, P
Π τηκεδόνας βιοτῆς καὶ δουλείην ἐρίτειμον, i
ε μοῦνον δ' ἡμέτερον βαιὴ [λίθος] οὔνομα φωνοῖ· o
ι Ἀλέξανδρος ὅδ' ἐστί, Βαλεντείνῃ δὲ συνεύδει n
ο κεὶν ἐνέρων λιμένεσσι μέγ' αἰνητῇ παρακοίτει· i
ν τοὺς δ' ἄμφω χαρίεν τέλος ἔλλαχεν, οὓς κτερέιξε
ι χερσὶ φίλαις θυγάτηρ γλυκερὴ Παυλεῖνα τοκῆας,
ο ἤδη οἱ θαλέθοντα τόκον κατα δῶμα λιπόντας Π
ν τριττύος ἐξ αὐτῆς, οἵ μεν μελάθρων μεδέοιεν. ε

b. *Νηλὴς ὦ θάνατος, πολὺ δὴ μέ[γ]' ἀκαίριος ἥκεις·* ι
P *χρῆν γὰρ ἐπ' ὠδείνεσσιν ἔχειν χέρα καὶ τότ' ὀλέσσαι,* ο
i *νῦν δὲ μετὰ πτολέμους κρυερῶν τε λαφύγματα νούσων* ν
o *λευγαλέους τε φόβους καὶ θυμοβόρους μελεδῶνας* ι
n *καὶ δίκας ἀμφιλόγους ῥεικνὸν καὶ κώδιον ἄξεις,* ο
i *λυπρὴν δαῖτα Χάρωνι· νέων δ' ἔμπης πεφίδησο.* ν

IV fere saeculi duo epigrammata, quorum prioris litterae ΕϹΩ, alterius ЄϹѠ sunt. Pionius nomen ad latera tituli bis latine bisque graece scriptum poetae videtur esse. — 1 - 3 Alexander aut omnino non iniit magistratum aut acerba expertus mox ad privatam vitam rediit. — 4 suppl. Boissonade. — 9 sq. τόκον τριττύος ἐξ αὐτῆς explicat Franz *prolem tribus fratribus constantem natu scilicet minoribus*, qua ratione ἤδη non explicatur. τόκος, ut docet οἱ pronomen, Paulinae est filiae; sed dubito quomodo τριττύν explicem. Aut triplicem partum i. e. tres filios singnificat, aut hoc: *tertius ipse dies est, cum filium pareret Paulina,* quo sumpto relativum οἵ (v. 10) ad filiolum aeque atque ad matrem patremque referendum erit. — 11 ΜΕΙ μοι scribebant ex Boissonadii coniectura; aptius est quod posui, neque puto πολὺ δὴ μέγα plus habere offensionis quam homericum μάλα μέγα. — Increpatur mors: *quid sera venis post exantlatos vitae labores; ne nasci quidem pati vel statim natis manu iniecta vitam adimere debebas.* Sententia est Sophoclea *Oed. Col.* 1225 - 1238 Dind. — 15 legi ego ΚΩΔΙΑΝΑΞΕΙϹ, ceteri κώδιον omnes, quorum consensui meam fidem interponere dubitavi. Explicat Welcker ῥικνὸν καὶ κώδιον *rugosum marcidum et exsiccum, quasi pellem.* Decet humile hoc et turpe iocandi genus illam quam supra indicavi aetatem.

***648.** Romae. C. I. 6235.

Ἱερὸς οὗτος ὁ χῶρος, ὃν Αἰνείας ἀγανόφρων
εἵσαθ' ἑοῦ ἑτάροιο σεβάσμιον Ἡθέοιο,
πάντα παλαιγενέεσσιν ἀλιγκίου ἡρώεσσιν,
κάλλος τ' ἠνορέην τ' ἀγανοφροσύνην τε νόον τε. —
ἐνθάδε δ' ἐ[ναί]ει καὶ Ὀλυμπιάς, εἱμερόεσσα
Ἡθέοιο δάμαρ καὶ ἀδελφεὴ Αἰνείαο,
ἣ πάσας παράμ[ειψε] φιλάνδρους ἡρωίνας,
Ἄλκηστιν πινυτῇ, μορφῇ δ' ἐρατώπιδα Λήδην. —
τοῦτ' ἐτύμως νῆσοι μακάρων πέδον, ἔνθα τε φῶτες

εὐσεβέες ναίουσι δικαιότατοί τ' ἀγανοί τε,
οἳ συνὸν ζώοντες ἔχον βίον ἀλλήλοισιν
σὺν κόσ[μ]ῳ σοφίῃ τε δικαιοσύνῃ τε καὶ αἰδοῖ. —
13 *ἀγγέλλω τάδε βωμός, ὃν Αἰνείας ἀνέθηκεν*
ὄφρα κε κυδαίνωνται ὑπ' ἀντιθέοις γεράεσσιν
πᾶσιν ἐν αἰώνεσσιν ὑπ' εὐσεβίῃσιν ἑταίρων.

III vel IV saeculi molestum hoc dicendi genus videtur. Epigramma in tres aequales partes quaternorum versuum divisum est, quibus quarta tamquam ἐπῳδή trium versuum adicitur. — 5 post ΔΕ lacuna non plus quattuor litterarum; unde nec Franzii supplementum verum esse potest ἐνθάδε δέμνι' ἔχει. — 7 non fuisse παράμειψε docet lacunae spatium. — Ledae non saepe conparantur mulieres; a Propertio (I 13) Galli amica nominatur *Iove dignae proxima Ledae.* — 12 ΚΟϹΝѠ — 14 sq. nota inscitum praepositionum usum.

---

649. Romae. C. I. 6279.

Οὐκ ἔθανες Πρώτη, μετέβης δ' ἐς ἀμείνονα χῶρον
καὶ ναίεις μακάρων νήσους θαλίῃ ἐνὶ πολλῇ,
ἔνθα κατ' Ἠλυσίων πεδίων σκιρτῶσα γέγηθας
ἄνθεσιν ἐν μαλακοῖσι κακῶν ἔκτοσθεν ἁπάντων·
οὐ χειμὼν λυπεῖ σ', οὐ καῦμα, οὐ νοῦσος ἐνοχλεῖ,
οὐ πίνῃ σ', οὐ δίψος ἔχει σ' ἀλλ' οὐδὲ ποθεινός
ἀνθρώπων ἔτι σοι βίοτος· ζώεις γὰρ ἀμέμπτως
αὐγαῖς ἐν καθαραῖσιν Ὀλύμπου πλησίον ὄντως·

Π. Αἴλ(ιος) Ἀβάσκαντος Αἰλίᾳ Πρώτῃ θυγατρί·ἔζησεν ἔτη ζ̄, μῆνας ια̅, ἡμέρας κζ̄.

III fere saeculi. — 2 θαλίῃ ἐνὶ πολλῇ clausula homerica. — 4 clausula hesiodea *Op. et dies* 115. — 5 sqq. expressi ex Od. δ 563 sqq. — 6 οὐ πεινῇς, οὐ δίψος ἔχεις Scaliger, οὐ πεινῇς, οὐ δίψος ἔχει σ' Franz; quod posui dedit Brunck. — 8 ὄντος inepte Fleetwood recepitque Franz.

---

650. Incerti loci, nunc Aquis Sextiis in museo. C. I. 6860 b.

. . . . ον ὁδεῖτα,
κοῦρος ἐγὼ καλέω σε θεῷ φίλος, οὐκέτι θνητός,
ἠίθεος κούροι[σ]ιν ὁμηλικίῃ πανόμοιος

πλωτ[ήρ]ων σωτῆρσιν, Ἀ[μυ]κλαίοισι [θ]εοῖ[σ]ιν,
πλωτὴρ καὶ [α]ὐ[τὸς] ἐὼν πόντου [τ]' ἐνὶ κύμασι[ν] ἥσθην·
ε]ὐσεβίῃ τ[ροφ]έων [δὲ] λαχὼν [τ]όδε σῆμ' ἀ[νά]παυμαι
νούσων [κ]αὶ καμάτοιο καὶ ἄχθεος ἠδὲ πόνοιο·
ταῦτα γὰρ ἐν ζωοῖσιν ἀμείλιχα σάρκες ἔχουσιν.
ἐν δέ [τε] τεθνε[ιῶ]σιν ὁμηγύρι[ές] γε πέλουσιν
δοιαί, τῶν [ἑτ]έρ[η] μὲν ἐπιχθονίῃ πεφόρηται,
ἡ δ' ἑτέρη τείρεσσι σὺν αἰθερίοισ[ι] χορεύει,
ἧς στρατιῆς εἷς εἰμ[ι], λαχὼν θεὸν ἡγεμονῆα.

L. P. S.

III fere saeculi. — 1 haec supersunt.... ΙΙΕΝΕ - - - - - - - - ΑΝΧΝΕCΙΙ | ΟΝ, quae verba esse ad viatorem facta scire satis habeo. Inde a v. 3 omnia restituit fere Chardon - la - Rochette. — 4 ΑΙΙΥΥΛΑΙΟΙCΙ — 5 ΚΑΙ Ν ΕΩΝ *καὐτὸς ἐών* Iacobs correxit. Tum ΓΕΝΙ, quod *τ' ἐνί* scripsi. — 6 ΤΙ..ΕΩΝ — 9 ΕΝΔΕΤΕΘΝΕ ϽCΙΝ *τε* addidi. — ΓΥΡΙΙ | ΓΕ — 10 ΤΩΝ ..ΕΡΙ — 12 ΕΙCΕΙΝ — Ceterum nihil egerunt qui defunctum aut Pythagoreum Platonicumve aut mysteriis Samothraciis initiatum fuisse monstratum ibant.

***651.** Scandriglia in vico Sabinorum, nunc Neapoli in museo. C. I. 6199.

Αἰλιανῶι τόδε [σῆμα] πατὴρ ἀγαθῶι πι[νυτῶι τε,
θ[νη]τὸν κηδ[εύσα]ς σῶμα· τὸ δ' ἀθάνατ[ον
ἐς μακά[ρ]ων ἀνόρο[υσ]ε κέαρ· ψυχὴ γὰρ ἀείζ[ως,
ἣ τὸ ζῆν παρέχει [κ]αὶ θεόφιν κατέβη.
ἴσχεο [σὺ] στοναχῶν, πά[τε]ρ, ἴσχε δέ, μῆτερ, ἀδελφούς·
σῶ[μα] χ[ι]τὼν ψυχῆς· τ[ὸ]ν δὲ θεὸν σέβε μου.

II saeculi. — Restituit fere Quaranta, qui primus edidit. — 2 ΘΙΙ ΙΙΤΟΝ — 3 ΜΑΚΑΙΩΝ *μακάρων* Welcker *Mus. Rh.* III 257 (1845). — ΑΕ ΙΖC — ΙCΧΕΟΟΙCΤΟΝ legi. Dein *ἴσχε δὲ μητέρ', ἀδελφούς* legebatur; videtur melius quod posui. — 6 CΩΙ ΙΧCΤΩΝ legi. — *τόν θεόν μου* i. e. *τὸ θεῖον μου*, *animam meam.* Defunctus fortasse Pythagoreus fuit.

---

652. Romae. C. I. 6264.

Θ(εοῖς) κ(αταχθονίοις).

Σῶμα μὲν ἥδε κόνις κεύθει θεομήστορος ἀνδρός

Ναρκισσίωνος [π]ινυ[τ]οῦ, ψυχὴ δὲ σύνεδρος
ἀθανάτων· βωμὸν γὰρ ἐδωμήσαντο ταλάφρων
μήτηρ Σαλβία Ματρώνα Σώτας τε ἀδελφός

2 ΗΙΝΥΠΟΥ.

---

653. Romae. Arae ancora insculpta est cruce inserta. C. I. 6241 b.

Ἤϑεον Καλόκαιρον ἔχει τόδε σῆμα, λιπούσης
ψυχῆς ἀϑανάτου σῶμα νέοιο κόρου·
σπεῦδεν ὁδὸν ϑείην γὰρ ἀποπρολιποῦσα μερίμνας
πευκεδανοῖο βίου, ὡς ἀνίῃ καϑαρῇ.

III fere saeculi.

---

654. Romae. C. I. 6301.

Θ(εοῖς) κ(αταχϑονίοις).

Μνῆμ' ἀρετῆς, Μοίρης τὸ τέλος, φίλο[ν] οὔνομα Χρήστη,
σωφροσύνης ἱερᾶς ἥτις μέγαν ἔσχεν ἔπαινον,
ἐνϑάδε νῦν κατὰ γῆς σῶμ' ἀνέπαυσε πόνων,
τὴν συνετὸν ψυχὴν μακάρων εἰς ἀέρα δοῦσα,
πρόσϑεν μὲν ϑνητή, νῦν δὲ ϑεῶν μέτοχος,
αἰμνηστος ἅπασι φίλοισί τε καὶ τεκέεσσι.
τόνδε τάφον σοφίης ἕνεκεν κυδ[ρ]ῇ παρακοίτι
τεῦξ' Ἐ[πα]φρᾶς συνόμευνος Ἀλεξάνδροιο πολείτης.
ΑΓΕΝΤΙ *εὐψύχι· κἀμὲ μένει τὸ ϑανεῖν.*

III fere saeculi. — 1 nihil obscuri: ***monumentum vides propter virtutem, mortua est propter fatum, nomen Chreste.*** — ΦΙΛΟΥΟΥΝΟΜΑ vel ΦΙΛΟΥΝΟΜΑ — 7 ΚΥΔΥΗ, unus Muratori ΚΥΔΝΗ, corr. Kulenkamp. — 8 ΤΕΥΞΕΦΡΑCΑC, unus Muratori ΤΕΥΞΕΦΡΑC, corr. Hultmann. — 9 neque ἅ γυνή placet neque aliorum quidquam; nisi altero nomine adpellabatur mulier, ex constanti notissimae formulae usu ΑΓΕΝΤΙ in ΧΡΗCΤΗ mutandum est.

***655.** Romae. C. I. 6240.

Ἰγορίοιο τάφος νεοπενϑέος· ὦ τάφος, ὅσσην
συγκλήσας ἀρετῆς εὐκλείην κατέχεις·

οὐκ ἴδρις τραγικῆς μούσης, οὐκ εὔλυρος ἀνήρ,
οὐδ' ἐπέων ῥητὴρ ἄξια σεῖο φράσει,
οἷος ἔφυς πραπίδας, οἷος χρόα, οἷος ἰούλους,
ὅσσων θ' ὡς πρέσβυς κοῦρος ἐὼν κρατέεις.
νύμφην δ', ἥ[ν σ]οι ἐγὼ θεῖος τεὸς ἔτρεφον οἴῳ,
τλήμονα νυμφεύσων ἥρπασε πρόσθ' Ἀίδης,
οὐδὲ γάμων ὑμέναιον ἀείσαμεν, ἀλλ' ἄρα μοῦνοι
παρθενίην ἐρατὴν σώσατε ὡς Ἀίδου.

III vel IV saeculi. — 7 ΟΙω recte habet: *tibi soli, non alteri cuiquam, non Plutoni nympham alui.* Legunt σὺ οἴ cum Leichio. — 9 ΜΟΥΝΟΙ corrigunt μούνῳ. *Iam cum Plutonis facti sitis virginitatem vobis servate, quippe coniugio non iam licito* (μοῦνοι).

---

656. Prope Lorium ad viam Aureliam. C. I. 6244.

Ὅς πάσας χάριτας καὶ τὰς φρένας ἐνθάδ' ἔκλεισε
κεῖται Καρουέντις πολὺ φίλτατος οἷσι τοκεῦσι.

infra:

τρὶς μάκαρος δὲ λίθος τόσσον ἔχων ἀγαθόν.

1 videtur ex Amatii et Gerhardi apographis constare lectio inepta.

***657.** Praeneste, nunc Romae. C. I. 6228.

Θ(εοῖς) κ(αταχθονίοις).

Πατρίδος ἐκ Ζμύρνης βροτοί μ' Εὐθαλέα καλέεσκον
εἵνεκ' ἐμῆς ἥβης καὶ μεγέθους ἐρατοῦ·
ἀλλά με μοῖρ' ὀλοή, πρὶν ἰούλοις πλῆσαι παρειάς,
ἥρπασε πὰρ φιλίων, οὓς τροφέας ἐκάλουν.

III fere saeculi. — 1 Εὐθαλής cognomen videtur puero postea inditum; ipsumque nomen non indicatum esse; itaque accentum non mutavi.

***658.** Romae. C. I. 6256.

Ψυχρὸν ὕδωρ δοίη σοι ἄναξ ἐνέρων Ἀιδωνεύς,
ὦ Μέλαν· ἥβης γάρ σοι ἀπώλετο φίλτατον ανθος.

2 nihil aliud nisi hoc: *nam nunc quidem tu mortuus es.*

***659.** Prope Cumas, nunc Neapoli in museo. C. I. 5860.

Βλαστὸν] ὁρᾷς γαίης· τὸ ποθούμενον ἐν στεφέεσσιν
οὔνομά μοι τόδ' ἔφυ· Ὑάκινθος ἐνθάδε κεῖμαι.

ἔτ(η) κε.

III saeculi. — Nec praescriptae litterae Θ. Κ. neque infra Ζ. ΕΤ. ΚΕ legitur. — 1 [Ἄνθος] ὁρᾷς legebatur. Intellego: *terra me vides prognatum* i. e. servum. Deinde hic verborum ordo τόδε τὸ ποθούμενον ἐν στεφέεσσιν ὄνομά ἐστιν ἐμοί, Ὑάκινθος.

---

660. Romae vel Tibure. C. I. 6242.

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτε[ι
ἀνδρὸς θείου Πουβλίου Τιτιδίου Καπίτωνος,
ὃς περὶ μὲν νόον ἔσκε βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν
ἀθανάτοισι δέδωκεν, τοὶ οὐρανὸν εὐρ[ὺ]ν ἔχουσιν.
τεῦξε δὲ τόνδε τάφον ἑὸς θρεπτὸς Νώνιος Ἀρτέμων.

Centones homerici inepte consuti. — 4 ΑΘΑΝΑΤΟΙCΔΕΔ Gruter et Pighius; ἀθανάτοισιν ἔδωκεν Gruter. Quod posui legitur in cod. Ottobon. (sched. Stoschianae). — ΕΥΡΟΝ.

---

661. Neapoli. C. I. 5815.

Ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει
ἀνδρῶν ἡρώων κοσμήτορα, θεῖον Ἀλκειβιάδην.
Αὐρηλ(ία) Ἀταλάντη ἰδίῳ πάτρωνι
καλῶς βεβιωκότι ἐποίησεν.

Cf. ad epigr. Prusanum supra n. 354. — Verbum extremum ἐπόησεν Ignarra, ἐποίησεν Capacius et Muratori.

***662.** Tria eiusdem tituli exempla, quorum unum Romae in aedibus Rondaninis (C. I. 6291), alterum Neapoli in museo Burbonico descripsi; tertium nunc mutilum addidit Fiorelli (*Catal.* 12), quod Franz rei nescius C. I. Add. III 5860 c restitutum ivit.

Κεῖμαι Σόεμος ἀνήρ, βιότητα νέος τελέσσας,
καὶ γαίην πατέων καὶ κύματα νηυσὶ περήσας,
Αὐσονίῃ γαίῃ τέρμα βίου θέμενος.

Fragmentum de quo dixi hoc est:

ΚЄΙ
ΒΙΟΤ
ΚΑΤΑ
ΚΥΜ

Soaemus (Σόαιμος proba forma est) Syrus natione videtur esse. — Ceterum non auctor ego sum omnia tria exempla antiqua esse.

***663.** Romae in villa Volkonsky descripsi. Videtur ineditum.

. . . .
. . . . *βιοτὴν [γ]αίῃ ἐν Αὐσονίῃ.*
αἰεὶ δὲ μνήμῃ σε φυ[λά]ξομεν ὡς παρεόντα
εἵνεκεν ἠ[θ]ίας εἵναικά τ' ἀγ[λ]αίης·
ο[ὐ]δέ μὲν ἐν θαλίῃ σέο λησόμεθα, οὐδὲ παλαίστρᾳ,
ἀμφοτερῆς ἀρετῆς σῆς ἐ[π]ιδευόμενοι.
οἳ [ὡ]ς μὲν θαλίῃσι λυροκτύπος, ὡς δὲ κραται[ῇ
ἀμφὶ π[ά]λῃ βιότου [ἄν]θος ἔχων ἔθανες.

II fere saeculi. — Titulus ab initio mutilus sic habet:

ΙЄΙϹ
ΠΡѠΤΟ
ϹϹΒΙΟΤΗΝΤΑΙ
ΗΝЄΝΑΥϹΟΝΙΗ

3 ΦΥΜΞΟΜΕΝ — 4 ΗЄΙΑϹ — ΤΑΓΑΙΗϹ utrumque correxit Wilamowitz, ἠθείαν nomen nove fictum putans ab adiectivo ἠθεῖος. — 5 ΟΙΔЄ — 6 ЄΡΙ — 7 ΟΙΟΙϹ — ΚΡΑΤΑΙΓ — 8 ΠΟΛΗ restituit distichon Wilamowitz; ἀμφί praepositio semel posita ἀπὸ κοινοῦ etiam ad θαλίῃσι dativum (v. 7) referenda est.

---

664. Massiliae. C. I. 6768.

Γλαυκία ἐστὶ τάφος· παῖς δ' ἀνέθηκε νέος,
δείξας ἐκ μεικροῦ πρὸς πατέρ' εὐσεβίην.
οὐκ ἔφθης, ὦ τλῆμον, ἰδεῖν γόνον οἷος ἂν ἦν σοι
γηραιῷ τεύχειν οὐ τάφον, ἀλλὰ βίον·

ἡ φθονερὰ δ' ὑμᾶς πάντ' ἀδικοῦσα Τύχη
μητρὶ μὲν ἐν γήρᾳ δάκρυ θῆκατο, τῇ δὲ γυναικὶ
χηρίαν δυστήνου παιδὸ[ς] ἅμ' ὀρφανίῃ.

ii videtur saeculi. — 1 non praetuli quod Visçonti legit παῖς δ' ἀνέθηκεν ἑός.

---

665. Incerti loci, nunc in museo Britannico. C. I. 6859.

Σῆμά με Νυκτελίοιο ν[ε]οστεφὲς οἰχομένοιο
δυστήνων ὁράᾳς δακρυόεν τοκέων.

2 δακρυόεν τόδε σῆμα supra n. 214.

---

666. Incerti loci, fortasse Asiae, nunc Cantabrigiae. C. I. 6861.

Παπίας χαῖρε.
Ἐνθάδε γῆ κατέχει νέον ἀνέρα, ᾧ πατρὶς ἦεν
καλὴ χθὼν Δοκίμοιο· τὸ δ' οὔνομα οἱ τόδ' ἔκειτο
Παπίας Πασικράτους· κάθθ[ανε δ'. . . . .

2 urbis Phrygiae nomen est Δοκίμειον, unde ἥρωα κτίστην ille Docimum aut sibi finxisse aut novisse videtur. — 3 κάθθανε Franz; fuerit ἐν πολέμῳ simile. [illegible] 269.

***667.** Romae. C. I. 6266.

α. Τίς ἦν σ' ὁ θρέψας; β. ἦν Κίλιξ Ἀθήναιος·
α. χρηστὸν τὸ θρέμμα. τίς καλῇ; β. Νουμήνιος·
α. πόσων δ' ἔθνῃσκες τῶν ἐτῶν; β. δὶς εἴκοσιν·
α. ἐχρῆν σ' ἔτι ζῆν· β. ἀλλὰ καὶ θανεῖν ἐχρῆν.
α. γενναῖά σου καὶ χαῖρε. β. καὶ σύ γ', ὦ ξένε·
σοὶ γὰρ μέτεστιν ἔτι χαρᾶς, ἡμῖν δ' ἅλις.

iii fere saeculi epigramma (litterae ΑЄϹѠ), cui insculpendo necubi omitteret lapidarius iota mutum praefuit grammaticus doctissimus; ne apostrophi quidem nota neglecta v. 3, 5, 6. — 5 γενναῖά σου cave cum interpretibus subaudias τὰ ἔτη quod esset τὰ σά. Immo formula est officiosa γενναῖος εἶ i. e. *benigne*; neque aliter viator postquam quae voluit inpetravit *gratia*, inquit, *tibi sit*.

***668.** Romae. C. I. 6204.

Ἦλθες ἐμῆς ζωῆς γλυκερώτερε, ὅς μ' ἀπέλυσας
νούσων καὶ καμάτων καὶ μογερᾶς ποδάγρας.
Αὐρ(ήλιος) Ἀμφικτύων ἄγων ἔτος ο'.

1 melius scripsisset ἐμοί et γλυκερώτερος, *mors mihi vita exoptatior.*

---

669. Incerti loci. Olim Venetiae, nunc Mutinae in museo Estensi. C. I. 6864.

Ζήσας ὡς δεῖ ζῆν, ἀγαθὸς δ' ἐν ἅπασι νομισθείς
Θρέπτος ἀκμὴν νέος ὢν ᾤχετ' ἐς ἡμιθέους.
Πατροβᾶς. Παπᾶς.

Subscripta videntur propinquorum nomina, quorum prius ΓΑΤΡΟΒΑΣ fortasse non integrum est. Πατροκλῆς male Franz.

***670.** Neapoli in museo. C. I. 5824.

Ἡλικίης μετέ]χοντα τὸν ἄθλιον ἥρπασε μοῖρα
. . . . ιον γεραραῖς χερσὶ ταφέντα πατρός.

III fere saeculi. Quae Martorellii in versibus extremis supplementa esse dicuntur μο[ῖρα] et π[ατρός] sunt verba lapidis. — 2 ΙΙΟΝ nomen defuncti.

***671.** Neapoli in museo. C. I. Add. III 5860 c ex Mommseni apographo.

Θ(εοῖς) [κ(αταχθονίοις)].

Ἑπτακαι[δεκέτη μήτηρ] με πόθησε [τάλαινα,
ἥ μ'] ἐκύησε ἄχραν[τα· τάφῳ δ'] ἐκάλυψεν ἄν[ηβον,
πάτρης Μεισ[ηνοῦ· ὁ] θεὸς προὔ[πεμψεν ἐς Ἅιδην.
. . . .

1 et 3 restituit Franz, nisi quod v. 1 ἀπόντα pro τάλαινα et v. 3 πάτρης solum vocabulum tertii versus superesse ratus scripsit Μεισηνοῦ· φθονερὸς δὲ θεὸς προὔπεμψέ μ' ἐς Ἅιδην. — 2 ΑΧΡΑΡ legi ΑΡΧΑΝ Mommsen. ἀλλ' ἐκύησεν ἄκραντα πανάθλιος, ὅν γ' ἐκάλυψεν Franz. — Subscripta . . ΝΗϹ Є.

---

672. Campigliani in agro Mutinensi. Welcker *Syll.* 90 ex Muratorii apographo. In C. I. non invenio.

'Ενθάδε μὲν κεῖμαι καὶ [ἀν]ώ[τ]ατος οὗτος ὁ τύμβ[ω]ν,
εινημνημημετον κλέος ἐστὶ τάφος.

1 ΚΑΙΣΩΜΑΤΟΣΟΥΤΟΣΟΤΥΜΒΟΝ. Quae posuit Welcker

ἐνθάδε μὲν κεῖμαι καὶ σώματος οὗτος ὁ τύμβος,
ἵν' ᾖ μνήμη μου, τὸ κλέος ἐστὶ τάφος

haec adeo inepta sunt, ut ultra vix possis. Hexametrum videor mihi restituisse coll. A. P. VIII 230 (Gregorii) τύμβος ἐγώ, τύμβων πανυπέρτατος, ἀλλ' ἐμὲ ὦξεν (lege ἔμ' ἔωξεν) ἀνδροφόνος παλάμη, quae ita intellego ut in grandi monumento summum iste loculus obtinuerit locum. — 2 conieci οὐκ (ΕΙΝ) ἤμην, [ἔσο]μαι· ζῶν κλέος ἐστὶ τάφος, *dum vivo non vivebam, sed vivam; nam mortui sepulcrum est vivum monumentum.*

---

673. Romae. Ex schedis Ptolomeis Muratori, inde C. I. 6317.

— — — — — — — — — — — —
ἔγραφες, ἐ]ν ψυχαῖσι βροτῶν [ὡς ἄφθιτ]ος εἴη,
ἐ]κ [θα]λε[ροῦ κηροῦ], ζωγράφε θαυμάσιε,
nomen defuncti] *ος ἄνακτος ἀπο[πνόου εὐκλέα μορ]φήν.*
Λαοδίκια πατρὶς [τῷ πέλεν ἐκ προτέρων,
ἄστυ ῥοαῖσι] Λύκοιο περίρρυτο[ν· ἀλλ' ἐνὶ] τύμβῳ
θάψε nomen mulieris *σεμ]νὴ σύνγαμος [ἀχνυμέ]νη.*

III vel IV saeculi. Argumentum carminis adumbravi supplementis usus admodum incertis. — 1 sq. ΕΙΗϹϹΚΟΛΛΕ ἐκ θαλερῶν ἔργων praeivit Franz. — 2 ζωγράφος nomen non est, neque illius ut ἄφθιτος sit imago ponitur. — 4 sq. supplementa spatium excedunt. — 5 ῥοαῖσι et 6 ἀχνυμένη Franz.

***674.** Romae. C. I. 6275.

'Ενθάδε κεῖμαι δάμαρ ὑπάτου ἥρωος ἀγανοῦ
Ἀρρίου μου φιλίου, τῷδε μιγεῖσα μόνῳ·
ἦν δὲ κὲ⟨ν⟩ ἐκ προγόνων ποτὲ τοὔνομα Πουβλιανή μοι,
(Σκιπιάδαι δ' ἔπελον εὐγενίῃ τ' ἔπρεπον),
χηρείαις αὐτὴ τὸν ἅπαντα χρόνον μείνασα
κωκυμόρων τεκέων πένθει τακομένη·

ἐμβιότῳ δὲ πόνον πουλὺν δ' ἀνέτλην μογέουσα,
Μούσαισιν μοῦνον τὴν φρένα θελγομένη.

Arrios conplures novimus consules, quorum quo quis recentior est eo probabilius Publianae virum fuisse existimaveris; a. 201 M. Nonius Arrius Mucianus. — 3 ΚΕΝ videtur mihi lapicidae error pro κέ i. e. καί. — 7 eleganter sed vereor ne ultra poetae ingenium Iacobs coniecit μάλ' ἔτλην. Verbum idem ap. Greg. A. P. VIII 152 ἄλγος ἀνέτλη.

---

675. Burdigalae. C. I. 6791.

Λείψανα Λουκίλλης διδυματόκου ἐνθάδε κεῖτε,
ἧς μεμέρισται βρέφη, ζωὸν πατρί, θάτερον αὐτῇ.

2 vix adgnoscuntur prae imitatoris inscitia vestigia pulcerrimi Heracliti epigr. A. P. VII 465 (coll. Antipatri ibid. 464), cuius extremum est distichon:

δισσὰ δ' ὁμοῦ τίκτουσα, το μὲν λίπον ἀνδρὶ ποδηγὸν
γήρως· ὃν δ' ἀπάγω μναμόσυνον πόσιος.

---

676. Ex oppido Piove di Sacco Patavium translatum. C. I. 6747 ex Salomonii *Inscript. Patav.*, qui edidit litteris minusculis Nicolai Comneni supplementis interpolatum.

Σῆμά τοι, [ὦ] γλυκερὴ Τελεσίλλα, ἐνθάδε [καλὸν
τεῦξεν Ἴδας ἀλόχῳ, λάχεν ἢ οἱ πᾶν τὸ πε[ρισσὸν
πίστεος, εὐνοίης, ἀρετῆς, ἀγαπῆς τε μ[άλιστα,
ὄφρα καὶ ἐσσομένοισι τεὸν κλέος ἄφθιτον [εἴη.

1 τοιο et extr. Τελεσιλλας ἐνθαδε θηκε, 2 τευξενιδας-λαχεν η οι παντοτε πληρης, 3 τε μενοιτο, 4 ἄφθιτον αἰέν. E quibus patet exitus versuum lapide fracto pessimis supplementis interpolatos esse, quae removere studebat Franz non ubique feliciter. — 1 τοι ὦ Iacobs. ἐνθάδε si verum est, adiectivum additum fuisse non minus certum videtur. — 2 Θευξενίδας Franz servato v. 1 ἐνθάδ' ἔθηκε, idemque λάχεν ἢ οἱ σεμνὸν ἔπαινον. Praetuli Wilamowitzii supplementum. — 3 ἀρετῆς ἀγανοφροσύνης τε Franz, idemque recte v. 4 εἴη.

---

677. Puteolis. Ex suo apographo Mommsen C. I. R. N. 3322; eiusdem utor altero apographo.

Pomp . . . . . *Mod*[*estae*] *Q. Passe* . . . . *Archia* . . . . .
ben[*emerenti fecit.*]

Σεμνῶν τρόπω[ν, Μόδεστα, τόνδε μάρτυρα
λειτὸν παρ' οἶμο[ν τύμβον εἷσατ' Ἀρχίας,
ὁ σὸς σύνευνος· [χαῖρε, φιλτάτη γυνή.

I fere saeculi. — In praescriptis post *Archia* litterae T vestigia adgnovisse sibi videtur Mommsen conicitque *archiat*[*rum*] illum fuisse. Quod si ita est, v. 2 quodvis aliud viri cognomen supplendum puta.

---

678. Romae. C. I. 6304.

Θ(εοῖς) [κ(αταχθονίοις)].

Τὴν πάντων γλυκί[ω] τῶν οἴκαδε, τὴν ἀρίζηλον
μητέρα τῆς γαμετῆς Ζωίλος ἔνθα θέτο.

1 ΓΛΥΚΙΟΝ γλύκιος adiectivum nullo exemplo potest confirmari; γλυκιότερος conparativus (supra n. 572) ab genuini conparativi stirpe male formatus est. Tamen inepte traditum ineptius explicat Welcker, ut sit fere χαρις.

---

679. Romae. C. I. 6253.

Μαρκέλλης τάφος εἰμί· τίς αὐτὴ γράμματα λέξει·
ἀρτίγαμος κούρη εἴκοσιν οὖσα ἐτέων.
αὐτὴ ἡ γεννήσασα καὶ κηδεύσασα ἐπέγραψα
ἄχθος ἔχουσα κραδίης πένθεος οὐκ ὀλίγου.

vv. 3 sq. in archetypo hi fuerunt αὐτὸς ὁ γεννήσας καὶ κηδεύσας ἐπέγραψα ἄχθος ἔχων κραδίης κτλ.'

---

680. Romae. C. I. 6285.

D(*is*) Θ(εοῖς) κ(αταχθονίοις) *M*(*anibus*)·

Εἴκοσιν ἓξ λυκάβασιν ἐγὼ ζήσασα Σαβεῖνα
καὶ μησὶν τέτρασιν εἶτ' ἐνδέκατον πάλιν ἦμαρ
τῇδε σορῷ κεῖμαι θυγατρὸς μέτα, ἥ με δίωξεν,
διξαμένη στοργὴν φιλομήτορα, δόγμασι μοιρῶν.

Subiectum est epigramma latinum haud melioris notae:

Hic iacet exanimis tumylis Aelia Sabina
cum sua nata simul, fetu, quem procreat ipsa.
o Fortuna, fidem quantam mutasti maligne:
quem genuit genetrix secum tenet in lare Ditis.

***681.** Romae. C. I. 6252.

Θ(εοῖς) κ(αταχθονίοις).

Μαργαρίδος τόδε σῆμα ἑῆς Εὔηνος ἔτευξεν
εἵνεκα μνημοσύνης τῆς φιλίης ἀλόχου·
κούρην γάρ μιν ἔγημεν ἔτη τρία καὶ δέκ' ἔχουσαν·
πεντήκοντα γάμων δ' ἔτεα πλησαμένη
κάτθαν[ε]ν, ἑξήκοντα τριῶν ἐτέων γεγαυῖα,
εὐφράνασα πόσιν παντὶ ἑῶι βιότωι.

I vel II saeculi.

---

682. Romae. C. I. 6258.

Ἡλικίῃ, μορφῇ, φρεσί, μούσαις σωφροσύνῃ τε
ἐν πᾶσι πρέψασα . . . . . . φῶς λίπες ἠοῦς,
κἀμὲ φύγες ποθέοντα καὶ οὐκ ἐσάθρησας ἰοῦσα.
τοιγὰρ ἐγὼ τόδε σῆμα φίλοις στα[θμ]οῖσιν ἔτευξα
ὄφρα σε καὶ νέκυν οὖσαν ἐμοῖς μελάθροισιν ὁρ[ῴ]ην,
οὔνομά μοι γλυκύ, Μέσσι', ἀιμνήστη παράκοιτι.

2 πρέψασα ΚΑΤΑΦΡΟΝΙ, quod κατὰ χθόνα correxit Dorville. In cod. Vallicell. R. 26 f. 187 superscripsit manus recentior κατὰ φρένα satis ineptam coniecturam. Cod. Barber. XXXVIII, 92 unus habet καταχθονι. Fortasse in lapide nihil nisi ΚΑΤΑ . . . ΟΝΙ legi poterat, quod cognomen fuerit mulieris. — 4 CTΑΔΙΟΙCΙΝ σταθμοῖσιν videtur necessaria Dorvillii emendatio coll. v. 5.

---

683. Bonnae. C. I. 6809. *Canis supra versus sculpta fidelem* δουλίδα *significat.* Buecheler *Mus. Rh.* XXX 37, suo usus apographo.

Θεσσαλονείκη μ[οι] πατρὶς ἔπλετο, οὔν[ομα] Δημ[ώ,
κἄμ' Ἄσιος Β[ατά]λο[υ] υἱὸς φίλτροισι δάμ[ασσεν,

εὐνοῦχός περ ἐ[ώ]ν, [καὶ ἐ]κυρον, ἣν λάχο[ν, αἶσαν·
κεῖμαι δ' ἐνθάδ[ε νῦν τόσ]σον ἄνευθε π[άτρης.

III fere saeculi. — 1 ΔΗΜΟΙ corr. Grotefend; retinet Δημοί Buecheler nomen prisco more exaratum putans. οὔνομ' Ὕλη μοι Welcker *Syll.* 101. — 2 Β . . . | ΛΟΙΥΟϹ corr. Welcker. Βατάλοι' Buecheler. — 3 ΕΗΝ lapis sive quadratarii errore sive soloecismo scriptoris. Relicum versum sicut etiam sequentem restituit Buecheler.

---

684. Romae. C. I. 6225. Vtor Bormanni ectypo.

Τύμβος ὅδε κρύπτει κούρης σεμνῆς καὶ ἀμέμπτου
σῶμα κατοιχομένης, περικαλλέος, ἧς ἐ[π]ιγείων
παρθενικὴν ζωνὴν οὔτις ἔλυσε βροτῶν.
Ἐλπίδι ἀδελφῇ γλυκυτάτῃ Δωνατίων.

II fere saeculi. — ΕΓΙΙΓΙΕΙΩΝ corr. Maffei.

---

685. Catanae. C. I. 5724.

Τύμβον ὁρᾷς, παροδεῖτα, περικλειτῆς Ῥοδογούνης,
ἣν κτάνεν οὐχ ὁσίως λάεσι δεινὸς ἀνήρ·
κλαῦσε δὲ καὶ τάρχυσε Ἀβιάνιος ἣν παράκοιτιν
καὶ βαιὴν στήλῃ τήνδ' ἀπέδωκε χάριν.
οὔνομα τὸ πρίν με πᾶς ἐκλῄζεν Ἐπαγαθώ,
νῦν δὲ Ῥοδογούνη[ν], βασιλίδος τὸ ἐπώνυμον.

I vel II saeculi. — 1 monuit me Wilamowitz de Theocriti versu (XVII 34), cuius clausula περικλειτὰ Βερενίκα. — 6 ΡΟΔΟΓΟΥΝΙΙΝ utebatur hoc nomine Darei uxor, mater Xerxis; ipsam defunctam Asianam fuisse utrumque nomen docet.

***686.** Romae. C. I. 6245.

Κυδίστῃ ἀλόχῳ Ἀπολλ[ώ]νιος εἵσατο σῆμα
Κεστίᾳ Βικτωρίᾳ Φλωρεντίῳ εἶδος ἀρίστῃ,
ἥ]ντ' ἐπὶ τριήκοντα χρόνους βίοτον τελεθούσῃ,
(λῃ) σωφροσύνης ἐρα[τ]ῆς ἀραμένῃ στέφανον.
Πιε]ρίδων Μουσῶν ἰσαρί[θμι]ός ἐστιν ὁ μάρτυς·
πέντε γ]όνους προφέρεσκεν [ἐῆς ἐ]κ νηδύος ἁγνῆς,

οἷσι τέκν]οις χαίρουσα φίλ[οις μάλα] πᾶσιν ἀληθῶς.
desunt duo versus.

III saeculo certe non antiquius. — 2 probabiliter Hermann *Φλωρεντίῳ* lapicidae errorem esse pro *Φλωρεντίᾳ* statuit. — 3 *ἔπτ' ἐπί* est in lapide, quamvis obloquente numero subscripto *λη'* (v. 4). — 5 a vero longe aberraverunt interpretes duce licet Hermanno dum scribunt *σωφροσύνης-στέφανον Πιερίδων Μουσῶν ἰσάριθμον, ὅς ἐστιν ὁ μάρτυς, παίδων, οὓς προφέρεσκεν ἑῆς ἐκ ν.* vertuntque *quae liberorum corona* (Musis numero par) *testis est servatae fidei coniugalis.* Obstat ut alia taceam vel solus articulus *ὁ μαρτύς.* Videtur potius ipsum epigramma, quod mutilum est lapide inferne fracto, olim novem versibus conpositum *μάρτυς* esse *Μουσῶν ἰσαρίθμιος.* — 7 pentametrum fecerunt neglecta spatii ratione.

***687.** Romae. C. I. 6214.

Θ(εοῖς) κ(αταχθονίοις).

Τύμβον μὴ παρίδῃς, παροδεῖτα, τῆς Ἀφροδείτης·
τοῦτον ἐμοὶ Αἰνείᾳ τε τέκνῳ ποίησεν ὁ χρηστὸς
σύμβιος Ἑρμαγόρας μνημοσύνης ἕνεκεν.
χαίρετε.
ζησάσῃ ἔτη λε'. ζήσαντι ἔτη δ', ἡμέρας ιβ'.

1 cur non scripserit *παροδοιπόρε* exposui in *Comment. Bonnens.* p. 27.

***688.** Romae in porticu S. Laurentii. Videtur ineditum.

Σπενδοφόρῳ τόδε σῆμα κλυτοὶ τεύξαντο τροφῆες,
δωδεκέτους μοιρῶν οἶμον ἀμειβομένου.

II fere saeculi.

***689.** Romae duo fragmenta, quae conposui. Prius C. I. 6316, alterum C. I. 6318.

Τῷδ' ἐνὶ τύμβῳ [ἐγὼ κεῖ]μαι παίδων ὄχ' αριστο[ς,
οὔνομα . . [μη]τ[ρ]ὸς . . . . . γένος Συρί[η]θεν,
ἕνδεχ' ἔτη [ζή]σας, δωδ[εκ]άτου δ' ἐπιβάς·
μηδὲν ἐν ἀνθρώποισι [κ]ακὸν γνούς, μηδὲ βι[αίου
μικροτάτου . . . .

π[α]ιδείαισι καλαῖς καὶ γ[υμ]νασίοις παρεδρεύων
ἔσχα τέλος ζωῆς, μοῖρα[ι μίτ]ον ὡς ἐπέ[κ]λωσαν.
μνημεῖον τόδε μοι [τεῦξ]εν [θ]ρέ[πτειρ]α γλυκεῖα
Φαυστεῖνα, μητρὸς [π]λ[ε]ῖον ἐμο[ὶ φ]ι[λ]ίη,
ἣ] καὶ ζῶντα φίλησε[ν] ἀε[ὶ] θανέοντά τ' ἔτεισε.

Aetatis admodum recentis. Litterae leviter incisae in lapide valde detrito difficillime leguntur, ita ut quamvis diligenter singula rimatus tamen saepius distinguere non potuerim quid sculptor scripserit quidve pictor inperite colore singulis litteris inducto obscuraverit. — 1 ΟΧΑΜΕΤϹ pictor, ΟΧ ΑΡΙϹΤΟ// sculp. — 2 frg. 1 ΟΥΝΟΜΑΛΟΗSΛΑΝΤΥΟϹ fr. 2 ΕΥΔΑΓΕΝΟϹϹΥΡΙΝ ΘΕΝ — 4 ΒΙ · Ι · // quod vereor ue non recte interpretatus sim. — 5 frg. 1 ΤΑΤΟ ΥΕΙΥϹΤΗϹΑΛΛ frg. 2 ΛΕΡΝΟϹΕΤΙ — 6 ΠΧΙΔ — 7 frg. 1 ΜΟΙΡΑ frg. 2 ΩΝΩϹ ΕΠΕΙΛΩϹΑΝ — 8 frg. 1 ΜΟΙ frg. 2 ·ΟΙϹΕΝΟΡΕΥΚΕΛΓΛΙΚΕΙΑ restitutio incerta. — 9 frg. 1 ΜΗΤΡΟϹΤ frg. 2 \ΟΙΟΝΕΜΟΜΡΙΑΙΗ — 10 init. ΕΙ — frg. 2 ΑΕΡ.

---

690. *In Rupe sicca ditionis Marchionum Maximorum.* C. I. 6303.

Βαιὸν ἐπισστήσας ἴχνος ἐνθάδε τύνβον ἄθρησον
παιδὸς ἄφνω μαζῶν μητρὸς ἀποπταμένο[υ·
ᾤχετο δ' ἐν νεκύεσσι λιπὼν πατρὶ πένθος αληκτον,
δισσὴ[ν] πληρώσας πεντάδ' [ἐ]τῶν συνό[λ]ων.
τοῖος δ' ἦν γεγαὼς οἷός ποτ' ἔφυσεν Ιαχχος
ἢ θρασὺς Ἀλκίδης ἢ καλὸς Ἐνδυμίων.

III potius quam II saeculi. — 2 ΠΤΑΜΕΝΟΝ — 4 ΔΙϹϹΗϹ — ΠΕΝΤΑ ΔΑΤΩΝϹΥΝΟΔΩΝ *δισσὴν - πεντάδα τῶν συνόδων* legebant explicatque Franz *menses decem synodicos.* *πεντάδ' ἐτῶν σύνολον* praeivit Wilamowitz. — 5 ΕΦΥϹΕΝ *οἷός ποτε, φασίν, Ἴαχχος* Iacobs, neque dubium quin corruptum sit; fortasse ϹΕΝ est *ξέν'*.

---

691. Prope viam Ardeatinam, post Romae. C. I. 6282.

Ῥουφῖνα Κέλερος ἐξ Ἀριστείνης τ' ἔφυν,
ζωὴ δὲ πλείων μητρὸς ἐν σπλάγχνοις ἐμή·
ὠδεῖνα λύπης δ' ἡ τεκοῦσ' ἠλλάξατο.
πρώτην ὁδὸν δὲ στέλλομαι πρὸς Ἀίδαν,
κλῆρον δὲ μητρὸς τῶιδε κληρουχῶ τάφωι·
στήληι δὲ φωνῶ ἀνταγωνίας βίου.

II vel I adeo saeculi. — 1 Ἀριστῖνα nomen more romano fictum ex Ἀρίστη. — 2 sqq. nota singulos versus particula δέ inter se coniunctos. — 5 *quem pater matri destinaverat loculum eum nunc ego teneo.*

---

692. Romae. C. I. 6259.

Μηνόφιλον τάφος οὗτος ἔχει πολυπενθέα παῖδα,
ὃν Χαρίτων τρισσῶν πανεπήρατον εἶδος ἔχοντα
αἰνοτόκων [γον]έων φθόνος ἥρπασεν, ὃν καθορᾶτε
ὀκτὼ μόνοις ἔτεσιν βεβιωκότα μησί τε πέντε.

II vel III saeculi. — 3 ΑΙΝΟΤΟΚѠΝЄѠΝ corr. Gronov; *quem ab parentibus rapuit invidia,* de qua structura cf. supra ad n. 462,9.

***693.** Romae in museo Capitolino sarcophagus. Videtur ineditum.

a. *Ὀκταέτη με ἔτι παῖδα κατέκτανεν ἡ βαρύμηνις*
Κλωθὼ Καλλικράτη καὶ παρέδωκε τάφῳ.
Αὐρ(ηλίῳ) Καλλικράτει γλυκυτάτῳ τέκνῳ.

b. *Θεοῖς καταχθο|νίοις. Βαλλίαι|Λ(ουκίου) θ(υγατρὶ) Ναρκισσια|νῇ, ἥτις ἔζη|σεν ἔτη ε̅, μῆ|νες* (sic) *ι̅, ἡμέραν α̅|Βάλλιος Νάρκισσος|καὶ Ἰουνία Ὀλυμπι|ὰς γονε[ῖς δυστη]χέσ|τατοι ἐποίησαν.*

Litterae pessime insculptae quaeque vix legi possint. Legi v. 1sq. ΟRΤΑЄΕΝΜЄЄΤΙΙΤΑΙΜΚΑΤCΚΤΑΝCΝΗΒΑΡΙѠΗΝΙCΚΑѠΟCΡ κτλ.'

---

694. Romae. C. I. 6251.

Θεοῖς χθονίοις.

Νῦν Βασίλιος ἐγὼ βρέφος αἴλινον ὧδε Μακρεῖνος,
πατρὸς Μακρείνου, Γλυκέρας μητρός μ[ε] τεκούσης,
ὀκτὼ ἔτη πλήσας πρὸς τούτοις μῆνα ἐβίω[ν] α̅.

III fere saeculi. — 2 ΜΗ — 3 ЄΒΙѠ. Α corr. Welcker; α̅ monosyllabum legenti.

695. Romae. C. I. 6289.

Τίκτε Τύχη, σπεῖρεν δὲ Σεραπιακός, ταχυπότμ[ω
ἄμφω, θηλυτέρην παῖδα Σεραπιάδα·
κεῖμαι δ' ἑξαέτης, τύμβον δέ μοι ὅς μ' ἀτίτηλεν
τεῦξεν, νει[κήσας] πάντας ἐπ' εὐσεβίῃ,
κλεινὸς ἐν ἀνθ[ρ]ώποι[σ]ι [Δ]ομεστικός, ὅς μ' ἔτι τυτθὴν
οὖσαν δουλοσύνης ἐξάγαγεν στυγερῆς.

III fere saeculi. — 1 ϹΕΠΕΙΡΕΝ — ΤΑΧΥΠΟΤΜΟϹ corr. **Raponius**, idemque supplevit v. 4.

696. Romae, nunc Veronae. C. I. 6296. Mihi descripsit Wilamowitz.

Φλῶρος Καικιλίου Στάκτης θ' ἅμα δεῦρ' ὑπόκειται
ἐξ ἄλλου τύμβου δεύτερα κλαιόμενος,
ἐξ ἐτέων ὥρης, ὀλίγον δέμας, ἀλλὰ τέλειον
θρεπτῆρσιν λείπων ἡλικίης ἔλεον,
ο[ὐ τόν]δ', οὐκ ἄκλαυτον ἔχων τάφον· οὐδὲ γὰρ ἔνθα
φείσαντο προτέρων μνησάμενοι δακρύων.
δείλαιοι τροφέων κειναὶ χέρες, αἳ συνέλεξαν
τὴν ὀλίγην σποδιὴν οὐκ ὀλίγης ὀδύνης.

II saeculo non recentius. — Florus puer mortuus ex pristino sepulcro a patronis (v. 4), ut videtur, in columbarii loculum translatus est. — 5 . . . . . . ΔΟΥΚ Maffei, Ο . . . . ΔΟΥΚ Wilamowitz; supplemento diffido. — 7 legebatur κεῖναι, κειναί scripsi idemque voluit Wilamowitz. κεναὶ χέρες eae sunt manus quibus id quod habebant ereptum est. — Eidem tabulae alter titulus inscriptus *Cn. Calpurnius Helenus v(ixit) a(nnis) XXIV.*

697. Romae. C. I. 6291 b.

Τειμάνδρα Κυπάρης κεῖτ' ἐνθάδε· κάτθανεν αἰαῖ
μηδὲ τὸν ἑξαέτη πλησαμένη βίοτον.
Λ[ούκιος . . . .]ος Ἄνθιμ[ος τῇ μακα]ρίᾳ θυγατρ[ὶ
μνείας χάριν.

Subscripta supplevit Amatius.

698. Romae. Ex Grutero C. I. 6224.

Παῖδά με τεθνειῶτα [ἱ]ε[ρ]ὴ κατὰ γαῖα καλύπτει
νηπίαχον, γνωτοῖς πᾶσιν ἄχος φιλίης·
πατρί τ' ἐμῶι μέγα πῆμ' ἔλιπον καὶ μητρὶ ταλαίνῃ,
οἷ[ς] ἔπορον δεινὴν ἄλγεσιν ἀμπεχόνην.
εἰ δὲ θέλεις γνῶναι τίς καὶ πόθεν, ουνομα τοὐμόν
Ἔκλεκτός τοι ἐγὼ κικλήσκομαι, αὐτὰρ ἔπειτα
Παλλάς μοι μήτηρ, Ταύγετος γενέτωρ.
ἑπτὰ δὲ πεντήκοντ' ἔσχον μῆνας εἴκοσί θ' ἡμέρας.

